BYZANTINE GREEK SERIES · VOLUME 13

Chronographia

Michael Psellos

ΧΡΟΝΟΓΡΑΦΙΑ

Chronographia

Part Two: From Monomachos to Michael VII

---

with a word-for-word interlinear English translation

preserving the original word order



CANES NOBILES · MMXXVI

Copyright © 2026 Christopher Hench
All rights reserved

Published by Canes Nobiles
canesnobiles.com

The source text is in the public domain



Volume 13 of the Canes Nobiles Byzantine Greek interlinear texts

The Byzantine Greek text follows K. N. Sathas's
edition, The History of Psellus (London, 1899)

Translated and composed with AI, edited by Christopher Hench
Artwork by Esther Steves

CONTENTS

BOOK VI

I · The Revolt of Tornikios 7
II · The Emperor's Looks 36
III · The Emperor's Illness 39
IV · The Plot of the Buffoon 46
V · Zoe's Old Age and the Emperor's Character 71
VI · Psellos Takes the Habit 102
VII · The Reign of Theodora 115

BOOK VII

VIII · Michael the Old 135
IX · The Generals Before the Emperor 137

BOOK VII

(continued)

X · The Revolt of Komnenos 139
XI · Psellos' Counsel 145
XII · The Battle 147
XIII · The Embassy to Komnenos 152
XIV · The Reign of Komnenos 188
XV · Constantine Made Patriarch 212
XVI · The Emperor's Illness 223
XVII · The Choice of Doukas 237
XVIII · Constantine Doukas 241
XIX · Eudokia and Her Sons 265
XX · The Reign of Romanos Diogenes 274
XXI · Michael Doukas 303
XXII · Constantine, Michael's Son 314
XXIII · Andronikos 316
XXIV · Constantine 318
XXV · John the Caesar 319
XXVI · The Emperor's Letter to Phokas 322

BOOK VI

Περὶ τῆς τοῦ Τορνικίου ἀνταρσίας

I · THE REVOLT OF TORNIKIOS

Constantine distrusts his sister Euprepia and her cousin Leo Tornikios, whom he has made a monk. The Macedonians of Adrianople carry Tornikios off, spread word that the emperor is dead, and raise him on a shield. With the eastern army far away and the emperor crippled in every joint, the rebels besiege the city, mock him below the walls, and rout a scratch force of prisoners and citizens. Tornikios will not enter, and his army melts away. He and John Batatzes leave sanctuary on oath, and the emperor, breaking his vow of mercy, has them blinded.

Τῷ αὐτοκράτορι Κωνσταντίνῳ δύω ἐγεγόνεισαν ἀδελφαὶ, 100
to-the autocrat Constantine two had-been sisters
Ἑλένη μὲν ἡ πρεσβυτέρα τὸ ὄνομα, Εὐπρεπία δὲ ἡ
Helena indeed the elder in-the name Euprepia and the(-one)
μετ᾽ ἐκείνην· τῆς μὲν οὖν Ἑλένης οὐδένα ἐπεποίητο λόγον,
after her — indeed then of-Helena no he-had-made account
τὴν δ᾽ ἑτέραν οὔτε τι λαμπρὸν ἐξ ἀρχῆς κομῶσαν
the but other neither anything splendid from (the)-beginning priding(-herself-on)
καὶ εἰς περιφάνειαν τύχης ἐληλυθυῖαν, φρονήματός τε
and to eminence of-fortune having-come of-spirit and
πλήρη τυγχάνουσαν, καὶ γυναικῶν ἁπασῶν ὧν ἐγὼ
full being and of-women all whom I
τεθέαμαι σταθηροτάτην τε οὖσαν καὶ δυσπαράγωγον,
have-seen steadiest both being and hard-to-mislead
ταύτην τοιγαροῦν εὐλαβεῖτο μὲν ὁ ἀδελφὸς, ὥς μοι
her accordingly was-wary-of indeed the brother as by-me
εἴρηται, οὐκ ἔστεργε δὲ παράγωγον, ἀλλ᾽ ἐδεδίει
has-been-said not he-loved(-her) and (as)-tractable but he-feared(-her)
μᾶλλον ἢ περιεῖπεν. Αὕτη τοιγαροῦν τῶν ἐπὶ τῷ ἀδελφῷ
rather than courted(-her) she accordingly of-the in the brother

διημαρτηκυῖα ὑπερηφάνων ἐλπίδων, βουλεύσασθαι μέν
having-missed proud hopes to-plan indeed
τι κατὰ τοῦ αὐτοκράτορος τῶν ἀτοπωτάτων ἀπεῖχε
anything against the autocrat of-the most-outrageous(-things) abstained
παντάπασιν, οὐ πολλάκις δὲ τούτῳ προσήει, οὐδὲ θάρρει
altogether not often but to-him she-approached nor with-confidence
ἀδελφικῷ, ἀλλὰ καὶ εἰς ὁμιλίαν ἐκείνῳ ἑαυτὴν καταστήσασα,
sisterly but even into converse with-him herself having-put
ὑπερηφάνως τε διελέγετο καὶ μετὰ τῆς ἀρχαίας ὀφρύος
haughtily both she-talked and with the old brow
ἀπήλεγχέ τε τὰ πολλὰ τοῦτον καὶ προσωνείδιζε, καὶ
refuted both the many(-times) him and reproached(-him) and
ὁπότε θυμούμενον ἴδοι, ὑπανεχώρει καταφρονοῦσα,
whenever angered she-saw(-him) she-withdrew despising
τὴν ἐπ᾽ αὐτὸν ὕβριν τοῖς χείλεσιν ὑποτονθορύζουσα· καὶ
the against him insult with-the lips muttering and
ἐπειδὴ ᾔδει τὸν ἀδελφὸν πρὸς τὸν ἤδη ῥηθέντα Τορνίκιον
since she-knew the brother toward the already mentioned Tornikios
ἀστόργως πάντη ἢ ἀπεχθῶς ἔχοντα, τοῦτον ἐκείνη ἐδεξιοῦτο
unlovingly wholly or hatefully disposed him she welcomed
καὶ φίλτατον εἶχε, καὶ θαμὰ προσωμίλει, οὐχ οὕτω
and dearest held and often conversed-with(-him) not thus
ἀσπαζομένη τὸ πρότερον. Ὁ δέ γε βασιλεὺς ἐμεμήνει
greeting(-him) the before the and at-least emperor had-raged
μὲν, βαθεῖς δὲ εἶχε περὶ τούτου τοὺς λογισμούς· οὔπω
indeed deep but he-had about this the reckonings not-yet
γὰρ οὐδὲ προφάσεις ἔσχεν ἀρκούσας εἰς κάκωσιν· ὅθεν ἵνα
for even pretexts he-had sufficient for harm whence that
πόρρωθεν ἀπ᾽ ἀλλήλων γένοιντο, ἐκείνῃ μὲν τέως ἔκρυψε
far from one-another they-might-be from-her indeed for-a-while he-hid
τὸ ἀπόρρητον, αὐτὸν δὲ τῆς πόλεως μεθιστᾷ, μετ᾽
the secret him and from-the city removes with

εὐπρεποῦς σχήματος· τὴν γὰρ Ἰβηρικὴν ἐπιτρέψας
seemly show the for Iberian having-entrusted(-to-him)
ἀρχὴν, ἐπίδοξον ὑπερορίαν τούτῳ κατεσκευάκει.
command glorious exile for-him had-contrived
Ἀλλὰ καὶ ἀποδεδημηκότι τῷ ἀνδρὶ ἡ φήμη αὖθις 101
but even having-gone-away to-the man the rumor again
συνείπετο· μᾶλλον δὲ ταύτην οἱ πλείους ἀφορμὴν κατηγορίας
followed rather and it the most occasion of-accusation
προσειληφότες, λόγους ἐπὶ τὸν ἄνδρα ὡς τυραννεῖν μέλλοι
having-taken words against the man that to-usurp he-was-about
συνέπλαττον, καὶ προλαβεῖν τὸ δεινὸν τὸν αὐτοκράτορα
fabricated and to-forestall the danger the autocrat
συνηνάγκαζον· ὁ δὲ τούτων ἀκούων, οὐ πάνυ μὲν
they-pressed he and these(-things) hearing not very indeed
διατετάρακτο τὴν ψυχὴν, ὡς δὲ τὴν ἀδελφὴν συνηγοροῦσαν
was-disturbed in-the soul when but the sister pleading(-for-him)
τεθέαται, καὶ πού τι καὶ τοιοῦτον εἰπούσης ἠκηκόει,
he-saw and somewhere something even such (her)-saying he-had-heard
“ὡς οὐδὲν ἄρα δεινὸν ὁ ἀνεψιὸς αὐτῇ πείσεται, τοῦ
that nothing after-all terrible the cousin her will-suffer the
κρείττονος αὐτὸν ἄνωθεν περισκέποντος,” ἐκπλαγὴς ἐπὶ τῷ
higher(-power) him from-above sheltering astounded at the
λόγῳ γενόμενος, καὶ τὴν ὁρμὴν οὐκέτι δυνάμενος κατασχεῖν,
word having-become and the impulse no-longer being-able to-restrain
οὐδ’ οὕτως μὲν ἐπεχείρησεν ἀνελεῖν, ὑφελεῖν δὲ αὐτῷ τοὺς
not-even thus indeed he-attempted to-kill(-him) to-remove and from-him the
θεμελίους τῆς τυραννίδος σκεψάμενος, στέλλει κατὰ τάχος
foundations of-the tyranny having-considered sends with speed
τοὺς ἀποκεροῦντας καὶ τὸ μέλαν τριβώνιον ἐπενδύσοντας.
the(-men) to-shear(-him) and the black cloak to-put-on(-him)
Καὶ οὕτως ἐκεῖνος ἐκκοπεὶς τῶν ἐλπίδων, ὁ πάλαι
and thus he cut-off from-the hopes the(-man) formerly

λαμπροφορῶν ἀθρόον ῥακοδυτῶν ἐπὶ τὸν βασιλέα ἐπάνεισιν·
splendidly-dressed suddenly clad-in-rags to the emperor returns
ὁ δὲ οὐδ' οὕτως εὐμενῶς εἶδεν, οὐδὲ τῆς τύχης ᾠκτείρησεν,
he but not-even thus kindly saw(-him) nor of-the fortune pitied(-him)
ἥτις αὐτὸν ταῖς ἐλπίσιν ὑψώσασα ἀθρόον κατήνεγκεν,
which him with-the hopes having-raised suddenly brought-down
ἀλλὰ καὶ προσιόντα οἱ πολλάκις δυσμενῶς ἀπεπέμψατο
but even approaching to-him often hostilely dismissed(-him)
καὶ κατεγέλασεν ἐλεεινῶς ἔχοντα. Μόνη δὲ ἡ Εὐπρέπεια,
and mocked(-him) piteously faring alone but — Euprepia
εἴτε συγγενικοῖς ἤθεσιν, εἴτε καὶ καθ' ἕτερον τρόπον
whether by-kinship's ways or also in other manner
ἐξένιζέ τε τοῦτον καὶ φιλοφρόνως ἠσπάζετο, πρόφασιν
entertained both him and kindly greeted(-him) pretext
ἀδιάβλητον τῆς φιλοφροσύνης τὴν συγγένειαν ἔχουσα.
unimpeachable of-the kindness the kinship having
102 Ἔτυχε δὲ τὸ τηνικαῦτα καὶ Μακεδονική τις περὶ τὴν
it-happened and the at-that-time also Macedonian some about the
πόλιν φιλοχωροῦσα πληθὺς καὶ μάλιστα ὅσοι τὴν
city lingering multitude and especially as-many-as —
Ἀδριανούπολιν ᾤκησαν ἐξ ἀρχῆς, ἄνδρες δεινοὶ τὰς
Adrianople had-dwelt-in from (the)-beginning men clever in-the
γνώμας καὶ τὴν γλῶτταν ἀντίστροφον ταῖς ἐνθυμήσεσιν
minds and the tongue opposite to-the thoughts
ἔχοντες, βουλεύσασθαί τι τῶν ἀτόπων ἑτοιμότατοι
having to-plan something of-the outrageous(-things) readiest
καὶ καταπράξασθαι δραστικώτατοι, κρύψαι τε λογισμοὺς
and to-accomplish most-effective to-hide both reckonings
ἀκριβέστατοι, καὶ τὰς πρὸς ἀλλήλους ὁμολογίας πιστότατοι.
most-exact and the to one-another agreements most-faithful
Ὁ μὲν οὖν αὐτοκράτωρ ὡς ἤδη κατατεθυμένου τοῦ
the indeed then autocrat as already having-been-slain the

λέοντος καὶ τάς τε τῶν ὀνύχων ἀφῃρημένου ἀκμὰς
lion and the both of-the claws having-been-stripped(-of) points
κατωλιγώρει παντάπασιν, οἱ δὲ Μακεδόνες τοῦτον ἐκεῖνον
disregarded(-him) altogether the but Macedonians this that
εἶναι νομίσαντες τὸν καιρὸν ὃν εἰς ἀποστασίαν πολλάκις
to-be having-thought the moment which for revolt often
ἐζήτησαν, βραχέα διαλεχθέντες ἀλλήλοις, ὡς τοῦ σκοποῦ
they-had-sought brief(-words) having-talked with-one-another as the aim
πάλαι καθομολογηθέντος αὐτοῖς, καὶ τόν τε Τορνίκιον
long-ago having-been-agreed by-them and — both Tornikios
εἰς παράλογον τόλμαν διερεθίσαντες, ἑαυτούς τε πρὸς
to unreasonable daring having-roused themselves and to
τὴν ὁμολογίαν τοῦ τολμήματος ῥώσαντες, νυκτὸς αὐτὸν
the compact of-the venture having-strengthened by-night him
ὑπεξαγαγόντες, ὀλίγων δή τινων καὶ τούτων παντάπασιν
having-led-out-secretly few indeed some and these altogether
ἀφανῶν κοινωνησάντων αὐτοῖς τοῦ δράματος, τὴν εὐθὺ
obscure having-shared with-them the drama the(-road) straight
Μακεδονίας ἐλαύνουσι· καὶ ἵνα μή τινες αὐτοῖς κατόπιν
of-Macedonia ride and that not any them behind
ἐξιππασάμενοι προλάβωσί τε τὰς εἰσβολὰς τούτων, ἢ
having-ridden-out might-seize both the passes of-these or
θηράσωσιν ἰχνηλατήσαντες, τὴν δημοσίαν ἵππον ἐπειδὴ
hunt(-them) having-tracked the public horse(-post) when
κατὰ λύσσαν μὲν ἀπεκτόνασι, καὶ οὕτως ἀπνευστὶ τὸν
in frenzy indeed they-had-killed(-it) and thus breathlessly the
δρόμον συντείναντες Μακεδονίας τε ἐντὸς γίνονται, καὶ
course having-pressed of-Macedonia both inside come and
τὴν Ἀδριανοῦ κατειληφότες ὥσπερ ἀκρόπολιν, ἔργου
the of-Hadrian(-city) having-seized as-if citadel to-work
εὐθὺς ἔχονται.
at-once hold

103 Ἐπεὶ δὲ συλλογῆς αὐτοῖς στρατευμάτων ἔδει,
since and of-gathering for-them of-armies there-was-need
χρημάτων δὲ αὐτοῖς οὐχ ὑπῆρχε παρασκευὴ, οὐδ᾽ ἄλλο
of-money but for-them not was supply nor other
τι τὸ πεῖθον τοὺς ἡγεμόνας τῶν στρατοπέδων
anything the(-thing) persuading the commanders of-the camps
εἰς ταὐτὸ συναγαγεῖν τὰ στρατεύματα καὶ πρὸς τὰ
into the-same to-bring-together the armies and to the
ἐκείνων ὑπείκειν βουλεύματα, πρῶτα μὲν λογοποιοὺς εὐθὺς
their to-yield plans first indeed rumor-mongers at-once
ἁπανταχῆ καθίασιν· οἳ δή που παρ᾽ ἑκάστους τῶν
everywhere they-send-out who indeed somewhere to each of-the
Στρατιωτῶν παραγενόμενοι, ἐξεπίτηδες τὸν μὲν βασιλέα
Soldiers having-come deliberately the indeed emperor
τεθνάναι διεβεβαίουν, τὴν δέ γε Θεοδώραν ἐγκρατῆ
to-have-died affirmed — and at-least Theodora master
γενομένην τοῦ κράτους, τὸν ἐκ Μακεδονίας πρὸ πάντων
having-become of-the sovereignty the from Macedonia before all
αἱρεῖσθαι Λέοντα συνετώτατόν τε ὁμοῦ καὶ δραστήριον
to-choose Leo most-intelligent both at-once and active
καὶ λαμπρὰς ἔχοντα τοῦ ἄνω γένους τὰς ἀφορμάς· εἶτα
and splendid having of-the above lineage the advantages then
δὴ καὶ αὐτοὶ οἱ καθηγεμόνες τοῦ πλάσματος διὰ τῆς
indeed also themselves the leaders of-the fiction through the
τοιαύτης μηχανῆς τὰ πανταχόθεν τῆς ἑσπέρας ἐν ὀλίγαις
such device the from-everywhere of-the west in few
δή τισιν ἡμέραις στρατόπεδα συναθροίζουσιν· ἦν δὲ
indeed some days armies gather there-was but
οὐ τὸ πλάσμα μόνον τὸ συλλέξαν ἐκείνους, ἀλλὰ
not the fiction alone the(-thing) having-gathered them but
δή τι καὶ μῖσος αὐτοῖς παρατρεφόμενον πρὸς τὸν
indeed some also hatred in-them being-nursed toward the

αὐτοκράτορα ἦν, ὅτι τε αὐτῶν βραχὺν λόγον ἐτίθετο,
autocrat there-was because both of-them little account he-took
καὶ ὑποπτεύσας αὐτοὺς ἀπό τινος γενομένης καινοτομίας,
and having-suspected them from some having-occurred innovation
ἔμελλε κατὰ βραχὺ τιμωρήσασθαι· διὰ ταῦτα πρὶν ἢ
was-going by little to-punish(-them) because-of these(-things) before than
κατειλῆφθαι τούτους, προκαταλαβεῖν ἐκεῖνον ἔργον ἐτίθεντο.
to-have-been-caught these to-forestall him work they-made
Συλλεγέντες οὖν ἀθρόον καὶ παρ᾽ ἐλπίδα, καὶ εἰς ταὐτὸ 104
having-gathered then suddenly and beyond hope and into the-same
τὰς γνώμας συνεληλυθότες, βασιλεύειν ἐπ᾽ αὐτοῖς αἱροῦνται
the minds having-come to-reign over them they-choose
τὸν Λέοντα, καὶ ὁπόσα δὴ αὐτοῖς ὁ καιρὸς ἐδίδου ἐπὶ
— *Leo and as-much-as indeed to-them the moment allowed for*
τῇ ἀναρρήσει πλασάμενοι, διαπρεπεῖ ἐσθῆτι κοσμήσαντες
the proclamation having-contrived with-splendid robe having-adorned(-him)
αἴρουσιν ἐπ᾽ ἀσπίδος· ὁ δὲ ἅπαξ ἐν τῷ σχήματι καταστὰς,
they-raise on a-shield he and once in the role having-been-set
ὡς ἤδη τοῦ πράγματος αὐτοῦ τετυχηκὼς, καὶ οὐχ ὡς ἐπὶ
as already the thing itself having-obtained and not as on
σκηνῆς οἷον δραματουργῶν ἢ πλαττόμενος, ἀρχικῶς
(the)-stage as-it-were playacting or feigning commandingly
καὶ τῷ ὄντι βασιλικῶς τῶν βασιλεισάντων κατάρχει,
and in-the reality imperially the(-men) having-made-emperor he-commands
βουλομένων κἀκείνων ἀκριβέστερον αὐτῷ τὴν ἀρχὴν
wishing and-they more-exactly by-him the rule
διευθύνεσθαι. Τὸ μὲν οὖν πολὺ πλῆθος, ἐπεὶ μήτε διανεῖμαι
to-be-directed the indeed then great multitude since neither to-distribute
εἶχε μηδὲ χρήμασι καθυπάγειν, διά τε φόρων ἀνέσεως
he-could nor with-money to-win-over through both of-taxes remission
ὑπήκοον ἀπεργάζεται, καὶ τοῦ καθάπαξ αὐτοὺς ἀφιέναι,
subject he-makes and the once-for-all them to-let-go

εἰς προνομὰς ἐξιέναι, καὶ κέρδος ἅπαν οἰκεῖον τὸ
for forays to-go-out and gain all own the(-thing)
ἀναλισκόμενον τίθεσθαι· τῶν δέ γε ἐν τέλει καὶ τῆς
being-consumed to-reckon of-the(-men) and at-least in office and of-the
πρώτης βουλῆς ἅπαξ ἀρχαιρεσιάσας, τοὺς μὲν ἡγεμόνας
first council once having-held-elections some indeed commanders
τῶν στρατευμάτων ποιεῖ, τοὺς δὲ ἐγγὺς ἱστᾷ τοῦ βασιλικοῦ
of-the armies he-makes others and near sets of-the imperial
βήματος, καὶ ἄλλοις τὰς πρώτας βουλὰς ἀνατίθεται, καὶ
tribunal and to-others the first counsels entrusts and
ξύμπαντας, ὡς αὐτῷ τε κἀκείνοις αἱρετὸν ἦν, καταλλήλως
all as to-him both and-to-them preferable was suitably
ἑκάστῳ τοῖς πράγμασι διελόμενος, τῆς πρὸς τὴν πόλιν
to-each to-the affairs having-assigned the to the city
εὐθὺς πορείας εἶχετο. Οὕτω γὰρ αὐτοῖς ἐβούλετο ἀθρόον
at-once march he-held-to thus for to-them it-seemed-good suddenly
προκαταλαβεῖν τὰς γνώμας τοῦ αὐτοκράτορος, καὶ πρὶν
to-forestall the plans of-the autocrat and before
ἢ τὸ τῆς ἑῴας ἐπ᾽ αὐτοὺς μετακινῆσαι στρατόπεδον,
than the of-the east against them to-move army
ἐπ᾽ ἐκεῖνον τούτους μετακινήσασθαι· ᾤοντο δὲ μηδὲ
against him these to-move they-thought and not-even
τοὺς ἐν τῇ πόλει τῷ βασιλεῖ προσθήσεσθαι, τούτοις
the(-men) in the city to-the emperor to-be-going-to-side to-these
δὲ ἀντιστήσεσθαι, δι᾽ ὀργῆς τε τὸν αὐτοκράτορα ἔχοντας,
but to-be-going-to-resist in anger both the autocrat holding
ἐπειδὴ καὶ καινοτομεῖν τι κατ᾽ αὐτῶν ἤρξατο, καὶ
since also to-innovate something against them he-began and
τὴν προεδρίαν αὐτοῦ δυσχεραίνοντας, καὶ βουλομένους
the presidency his resenting and wishing

Στρατιώτην ἰδεῖν αὐτοκράτορα, σφῶν τε προκινδυνεύοντα
(a)-Soldier to-see autocrat for-them both facing-danger-first
καὶ τὰς ἐπιδρομὰς τῶν βαρβάρων ἀνείργοντα.
and the raids of-the barbarians checking
Ἀμέλει καὶ πρὶν ἢ προσπελάσαι τοῖς τείχεσι πολλή 105
indeed even before than to-approach to-the walls great
τις αὐτοῖς μερὶς κατὰ τὴν πορείαν ἐθελουσίοις ὁρμαῖς
some to-them portion along the march with-willing impulses
προσετίθετο, πληθύς τε στρατιωτικὴ ἀπὸ τῶν ὑψηλοτέρων
joined multitude both military from the higher
μερῶν προσεγίνετο, καὶ τὰ μέχρι τῆς πόλεως κατάντη
parts came-over and the(-things) up-to the city downhill
πάντα πρὸς τὸν σκοπὸν καὶ ἐπίφορα. Καὶ τὰ μὲν
all toward the aim and favorable and the(-things) indeed
ἐκείνων τοιαῦτα, τῷ δὲ αὐτοκράτορι εἰς τοὐναντίον
their such(-were) for-the but autocrat to the-opposite
περιειστήκει τὰ πράγματα· οὔτε γὰρ οἰκεῖον στράτευμα,
had-turned the affairs neither for own army
οὔτε συμμαχικὸν αὐτοῦ που συνείλεκτο, εἰ μή τις ὀλίγη
nor allied there somewhere had-been-gathered if not some small
μερὶς ξενική, ὁπόση τις εἴωθεν ἐφέπεσθαι ταῖς βασιλείοις
portion foreign as-much-as any is-wont to-follow the imperial
πομπαῖς· ὁ γέ τοι τῆς ἑῴας στρατὸς οὐδὲ κατεσκήνουν
processions the at-least surely of-the east army not-even encamped
ἐφ᾽ ἑαυτῶν ἕκαστοι, ἵνα δή τι καὶ κατὰ σύνθημα
by themselves each that indeed somewhat even by signal
ταχὺ συλλεγέντες βοηθήσαιεν τῷ αὐτοκράτορι κινδυνεύοντι,
quickly gathered they-might-help the autocrat in-danger
ἀλλ᾽ ἐς τὰ βαθύτερα τῆς Ἰβηρίας ἐστρατοπεδεύκεισαν,
but into the deeper(-parts) — of-Iberia had-encamped
ἐπιδρομήν τινος βαρβάρου ἀνακρουόμενοι· διὰ ταῦτα
(the)-raid of-some barbarian beating-back because-of these(-things)

ἀπολώλεισαν τῷ βασιλεῖ αἱ ἐλπίδες, καὶ τοσοῦτον μόνον
had-perished for-the emperor the hopes and so-much only
ἀνέπνει, ὁπόσον αὐτὸν ἡ τοῦ τείχους περιβολὴ διεζώννυεν·
he-breathed as-much-as him the of-the wall circuit girded
ὅθεν περὶ τοῦτο ἐπόνει, τά τε κατερραθυμημένα τῶν μερῶν
whence on this he-labored the both neglected of-the parts
ἀνακτώμενος καὶ λιθοβόλοις καταπυκνῶν μηχανήμασιν.
restoring and with-stone-throwing crowding(-them) engines
106 Ἔτυχε δέ πως αὐτῷ τηνικαῦτα καὶ τὰ ἄρθρα ἐς τοσοῦτον
it-happened and somehow for-him at-that-time also the joints to such(-a-point)
νοσήσαντα, ὡς τάς τε χεῖρας αὐτῷ πάντη διαλελύσθαι,
having-sickened that the both hands for-him wholly to-have-been-loosened
τούς τε πόδας μετὰ τοῦ μὴ βαδίζειν δύνασθαι, ἔτι
the and feet with the not to-walk to-be-able further
τε καὶ ἀλγηδόσι σφοδραῖς διατείνεσθαι· ξυμπεπονήκει δὲ
and also with-pains violent to-be-racked had-suffered-with and
αὐτῷ καὶ ἡ γαστὴρ διαρρυεῖσα καὶ πάντη διαφθαρεῖσα,
him also the belly having-dissolved and wholly having-been-ruined
καὶ τὸ σύμπαν δὲ αὐτῷ σῶμα τηκεδών τις ὑπεσμύχετο
and the whole too his body wasting some smoldered-under
καὶ διεβόσκετο, ὥστε μήτε προϊέναι δύνασθαι, μήτε δὴ
and consumed so-that neither to-go-out to-be-able nor indeed
τοῖς πολλοῖς εἰς ὁμιλίαν καθίστασθαι. Ἔνθεν τοι καὶ
with-the many into converse to-come hence surely also
ἡ τῆς πόλεως πληθὺς τεθνηκέναι οἰηθέντες ἐκεῖνον, κατὰ
the of-the city multitude to-have-died having-thought him in
πλῆθος ἐπὶ μέρους ξυνιόντες περὶ τοῦ δεῖν ἐντεῦθεν
crowds in part meeting about the to-be-needful from-here
ἀποδράσασθαι καὶ πρὸς τὸν τύραννον ἀπιέναι βουλὴν
to-run-away and to the tyrant to-go-off counsel
ἐποιοῦντο· ὅθεν καὶ παρὰ φύσιν ὁ αὐτοκράτωρ κατεβιάζετο
were-making whence also against nature the autocrat was-forced

ὁμιλεῖν τε τοῖς πολλοῖς ἐκ διαστήματος, ἢ καὶ πόρρωθεν
to-converse both with-the many from (a)-distance or even from-afar
ὁρᾶσθαι, καὶ ὅτι μὴ ἐτεθνήκει διαβεβαιοῦσθαι τοῖς σχήμασι.
to-be-seen and that not he-had-died to-affirm by-the gestures
Τοῦτο μὲν οὕτως εἶχε, καὶ ὁ τύραννος πνεύματος δίκην 107
this indeed thus was and the tyrant of-wind like
διαδραμὼν μετὰ παντὸς τοῦ στρατεύματος αὐτοῦ που
having-run-through with all the army there somewhere
πρὸ τῆς πόλεως ἐναυλίζεται, καὶ ἦν τὸ γιγνόμενον
before the city encamps and was the(-thing) happening
οὐ πόλεμος, οὐδ' ἀντίστασις, ἀλλὰ πολιορκία καθαρὰ
not war nor resistance but siege pure
καὶ τειχομαχία. Ἐγὼ γοῦν καὶ στρατιωτῶν αὐτῶν
and wall-fighting I at-any-rate both from-soldiers themselves
καὶ πρεσβυτέρων ἀνδρῶν ἐνίων ἀκήκοα, ὡς οὐδεὶς ποτὲ
and older men some have-heard that no-one ever
τῶν τυραννευσάντων εἰς τοῦτο τόλμης ἐλήλυθεν, ὥστε
of-the(-men) having-usurped to this of-daring has-come so-as
καὶ μηχανήματα πρὸ τῆς πόλεως στῆσαι παρασκευάζεσθαι
even engines before the city to-set to-prepare
καὶ τόξα τείνειν ἐπὶ τὰς ἐπάλξεις, τὴν πᾶσαν περιβολὴν
and bows to-bend against the battlements the whole circuit
τῶν τειχῶν ἔξωθεν στρατῷ περιζωννύων· ἔκπληξις οὖν
of-the walls from-outside with-army girding consternation then
κατεῖχε καὶ θόρυβος ξύμπαντας, καὶ ἁλώσιμα πάντα
held and tumult all and capturable all
ἐδόκει γενήσεσθαι. Ὁ δέ γε τύραννος τέως μὲν βραχύ
seemed to-be-going-to-be the and at-least tyrant for-a-while indeed a-little
τι πρὸ τῶν τειχῶν γεγονὼς, χάρακά τε βάλλεται καὶ
somewhat before the walls having-come palisade both throws-up and
στρατοπεδεύει λαμπρῶς, καὶ βραχύ τι μέρος ἐπ' αὐτοῦ
encamps splendidly and small some part on the-spot

τῆς νυκτὸς αὐλιζόμενος, τὸ λοιπὸν αὐτός τε ἐξιππασάμενος
of-the night bivouacking the rest himself both having-ridden-out
καὶ ταῖς δυνάμεσι τοῦτο παρακελευσάμενος, τό τε ψιλὸν
and to-the forces this having-ordered the both light(-armed)
διατάξας, βάδην τε προϊὼν, κατ' αὐτὸ τὸ περίορθρον
having-drawn-up at-a-walk and advancing at the-very the dawn
πρὸ τῶν τειχῶν ἀθρόοι καθίστανται, οὐ συμμίγδην,
before the walls massed they-take-position not pell-mell
οὐδὲ κατὰ πλῆθος συνειλεγμένοι, ἀλλὰ στρατιωτικῶς
nor by crowd gathered but soldierly
διεσκευασμένοι καὶ πολέμου σχῆμα διατυπώσαντες·
equipped and of-war form having-shaped
καὶ ἵνα δὴ ὡς ἀπειροπολέμους ἡμᾶς καταπλήξαιεν,
and that indeed as unwarlike us they-might-terrify
ἐσιδηροφόρησαν ξύμπαντες, οἱ μὲν ἐντελέστεροι καὶ
bore-iron all some indeed better-equipped both
περικνημῖσι καὶ θώραξιν ἑαυτοὺς καθοπλίσαντες καὶ
with-greaves and with-breastplates themselves having-armed and
τὴν ἵππον κατάφρακτον στήσαντες, οἱ δ' ἄλλοι ὡς εἶχον
the cavalry mailed having-set the and others as had
ἕκαστοι καθωπλίσθησαν.
each were-armed

108 Αὐτὸς μὲν οὖν ὁ τύραννος λευκοῦ ἐπιβεβηκὼς ἵππου, τὸ
himself indeed then the tyrant white having-mounted horse the
μεσαίτατον εἶχε τῆς φάλαγγος ἅμα τοῖς τῶν ἱππέων
very-middle held of-the phalanx together-with the of-the horsemen
ἐπιλέκτοις καὶ τῇ κρείττονι στρατιᾷ· περιΐστατο δὲ αὐτὸν
picked and the stronger force stood-around and him
καὶ ψιλὸν, ἑκηβόλοι ξύμπαντες καὶ κοῦφοι καὶ εὔδρομοι,
also (the)-light(-armed) far-shooters all and nimble and swift-running
ἡ δὲ λοιπὴ φάλαγξ ἑκατέρωθεν διειστήκεισαν ὑφ' ἡγεμόσι
the and rest phalanx on-either-side stood-apart under commanders

παραταττόμενοι, οἱ δὲ λόχοι τὸ σχῆμα φυλάττοντες οὐ
drawn-up the and companies the formation keeping not
σὺν ἑκκαίδεκα ἀλλὰ σὺν ἐλάττοσι διῄρηντο, ἵν' ἐς μῆκος
with sixteen but with fewer were-divided that into length
αὐτοῖς ἐκτείνοιτο ἡ πληθὺς, ὅθεν οὐδ' ἐπυκνοῦντο,
for-them might-extend the multitude whence not-even they-were-close-packed
οὐδὲ συνήσπιζον· τὸ δὲ κατόπιν πλῆθος πολύ τι καὶ
nor locked-shields the but behind multitude great somewhat and
δυσαρίθμητον τοῖς ἐκ τῶν τειχῶν ἔδοξε· διῄρηντο γὰρ
hard-to-count to-the(-men) from the walls seemed were-divided for
κἀκεῖνοι, ἅμα δὲ καταθέοντές τε καὶ διϊππεύοντες οὐ μᾶλλόν
those-too at-once and charging both and riding-about not more
τε ἰσχὺν παρατάξεως ἢ φαντασίαν πλήθους παρεῖχον.
both strength of-battle-line than appearance of-numbers they-gave
Ἐκεῖνοι μὲν οὕτως· ὁ δέ γε αὐτοκράτωρ πολιορκούμενος 109
they indeed thus the and at-least autocrat being-besieged
ἔσωθεν, ἵνα τέως ὀφθείη τῷ ἐναντίῳ στρατεύματι
inside that meanwhile he-might-be-seen by-the opposing army
ζῶν, ἐσθῆτι βασιλικῇ κοσμηθεὶς ἐπί τινος προβεβλημένου
living with-robe imperial adorned on some projecting
τῶν ἀνακτόρων οἰκήματος ἅμα ταῖς βασιλίσι καθῆστο,
of-the palace building together-with the empresses sat
ὀλίγον μὲν ἐμπνέων, βραχὺ δ' ἀναστένων, καὶ τοσοῦτον
little indeed breathing a-little and groaning and so-much
ὁρῶν τοῦ στρατεύματος ὁπόσον εἱστήκει ἐγγύς τε καὶ
seeing of-the army as-much-as stood near both and
κατὰ μέτωπον. Οἱ δ' ἐπειδὴ, ἀγχοῦ που τῶν τειχῶν
in front they and when near somewhere the walls
γενόμενοι, διετάξαντο τὰ μὲν πρῶτα τοὺς ἐπὶ τοῖς
having-come they-drew-up the(-things) indeed first the(-men) on the
τείχεσιν ἑστηκότας, ὧν τε παρὰ τοῦ βασιλέως δεινῶν
walls standing of-what both from the emperor terrors

ἐπεπόνθεισαν, καὶ ὧν, εἰ μὲν ἁλοίη ἀπαλλαγήσονται,
they-had-suffered and of-what if indeed he-should-be-taken they-will-be-freed
εἰ δ' ἀφεθείη πείσονται, ἀνεμίμνησκον κατὰ μέρος,
if but he-should-be-let-go they-will-suffer reminded in detail
καὶ ἠξίουν τὰς πύλας τε αὐτοῖς ὑπανοῖξαι καὶ εἰσδέξασθαι
and asked the gates both for-them to-open and to-receive
ἐπιεικῆ καὶ χρηστὸν αὐτοκράτορα, φιλανθρώπως τε αὐτοῖς
reasonable and good autocrat humanely both them
χρησόμενον καὶ τὸ Ῥωμαίων κράτος τοῖς κατὰ τῶν
going-to-treat and the of-(the)-Romans sovereignty by-the against the
βαρβάρων πολέμοις τε καὶ τροπαίοις αὐξήσοντα.
barbarians wars both and trophies going-to-increase
110 Ἐπεὶ δὲ οὐδὲν αὐτοῖς εὔφημον πρὸς οὓς ὁ λόγος
when but nothing to-them well-omened to whom the word
ἀνταπεκρίναντο, ἀλλὰ πάσαις μὲν ὕβρεσι, πάσαις δὲ
answered but with-all indeed insults with-all and
ἀτιμίαις αὐτούς τε καὶ τὸν ἐπ' αὐτοῖς τυραννοῦντα
dishonors them both and the over them usurping(-one)
κατέπλυναν, τὰς ἐκ τοῦ πλήθους ἐλπίδας καθάπαξ
drenched the from the multitude hopes once-for-all
ἀπογνόντες, ἀπαισίους ἀπερρίπτουν ἐπὶ τὸν βασιλέα
having-given-up ill-omened they-hurled at the emperor
φωνὰς, νῦν μὲν τὴν τοῦ σώματος αὐτῷ προσονειδίζοντες
words now indeed the of-the body to-him casting-in-his-teeth
πάρεσιν, νῦν δ' ἐναγῆ ἀποκαλοῦντες καὶ πρὸς οὐχ
palsy now and accursed calling(-him) and to not
ὁσίας ἀποκλίναντα ἡδονὰς, νῦν δὲ πόλεως ὄλεθρον καὶ
holy having-turned pleasures now and of-(the)-city ruin and
δήμου φθορέα, νῦν δ' ἄλλο τι τῶν ἀτοπωτάτων
of-(the)-people corrupter now and other something of-the most-outrageous(-things)
ἐπισυνείροντες τούτῳ καὶ καθυβρίζοντες· οἱ δὲ πλείους τῶν
stringing-on to-him and insulting(-him) the and most of-the

Μακεδόνων, δῆμος ὄντες αὐθαδείᾳ χαίροντες καὶ θρασύτητι,
Macedonians commons being in-insolence rejoicing and in-boldness
καὶ οὐ στρατηγικῆς ἀφελείας, ἀλλὰ πολιτικῆς βωμολοχίας
and not of-soldierly simplicity but of-civic buffoonery
ὄντες ἐθάδες, τῶν ἵππων τε οἱ πλείους ἀπέβαινον, καὶ
being accustomed(-to) from-the horses both the most dismounted and
χορείας εἰς τοὐμφανὲς συνιστῶντες, αὐτοσχεδίους ἐποιοῦντο
dances into the-open forming improvised made
κωμῳδίας τῷ αὐτοκράτορι, τὴν γῆν τῷ ποδὶ σὺν
comedies at-the autocrat the ground with-the foot with
ῥυθμῷ καὶ μέλει ἐπικροτοῦντες καὶ κατορχούμενοι. Ὁ δ'
rhythm and song stamping and dancing-in-mockery he and
ἐπειδὴ τούτων τὰ μὲν ἑώρα, τὰ δὲ ἤκουεν, εἱστήκειν δ'
since of-these some indeed saw others and heard was-standing and
ἐγὼ πλησίον αὐτῷ, τὰ μὲν ἐν δεινῷ τῶν λεγομένων
I near him some indeed in dreadful of-the(-things) said
ποιούμενος, τὰ δὲ λόγοις παραμυθούμενος, οὐκ εἶχεν
taking others and with-words soothing not he-had
ὅ τι καὶ δράσειεν, τὴν ἐπὶ τῶν ἔργων αἰσχύνην ἐπὶ
what — even he-might-do the over the deeds shame over
τῶν παρ' ἐκείνων ὑφιστάμενος λόγων.
the from them undergoing words
Τῶν δέ γε πολιτῶν ἔνιοι ἐκτὸς τοῦ τείχους γενόμενοι 111
of-the and at-least citizens some outside the wall having-gone
τὴν ἵππον ἀνεῖργον αὐτοῖς, οἱ μὲν λίθους ἀπὸ σφενδόνης
the cavalry held-off for-them some indeed stones from (the)-sling
ἀπορριπτοῦντες, οἱ δ' ἐπιτοξάζοντες· οἷς καὶ φυγὴν
hurling others and shooting-at(-them) on-whom also flight
ἐπιτετηδευμένην πλασάμενοι, ἐπεὶ δὲ κατόπιν θέειν αὐτοὺς
contrived having-feigned when but behind to-run them
ἐξηπάτησαν, ἀθρόον ἐπιστραφέντες, ξίφεσι, δόρασιν
they-had-tricked suddenly having-turned with-swords with-spears

ἀνῃρήκασι. Καί τις τῶν παρ᾽ ἐκείνοις ἐφ᾽ ἵππου τοξεύειν
killed and one of-the(-men) with them from horse to-shoot
εἰδὼς, τοὺς ἡμετέρους λαθὼν ὀφθαλμοὺς πρὸς τοῖς τείχεσί
knowing the our escaping eyes at the walls
τε γίνεται, καὶ καταντικρὺ τοῦ βασιλέως ἐπὶ μέτωπον
both comes and opposite the emperor to (the)-front
τὴν τοῦ τόξου ἑλκύσας νευρὰν, ἐπ᾽ αὐτὸν τὸ βέλος
the of-the bow having-drawn string at him the arrow
ἀφίησι· τὸ δὲ τὸν μεταξὺ ἀέρα εὐπετῶς περιπτυξάμενον,
lets-fly it but the between air easily having-embraced
βραχύ τι παρεκνεῦσαν τοῦ αὐτοκράτορος, μειράκιον
a-little somewhat having-swerved from-the autocrat youth
οὐκ ἀνώνυμον τῶν ἐκείνου κατευναστήρων βραχύ τι
not nameless of-the his chamberlains a-little somewhat
παραξέει τὴν πλευρὰν παρελάσαν, καὶ ἡμεῖς τῷ φόβῳ
grazes the side having-passed and we with-the fear
ἐπάγημεν, ὅ τε αὐτοκράτωρ τὴν καθέδραν διήμειψε καὶ
froze the both autocrat the seat changed and
πορρωτέρω τοῦ πολεμικοῦ ἐγεγόνει συστήματος. Οἱ
farther from-the warlike had-gotten array they
δὲ παρορθρευσάμενοι, ὥς μοι εἴρηται, μέχρις αὐτῆς
and having-come-at-dawn as by-me has-been-said until the-very
μεσημβρίας, τὰ μὲν εἰπόντες, τὰ δ᾽ ἀκούσαντες, καὶ
midday some indeed having-said others and having-heard and
νῦν μὲν θωπεύσαντες ἡμᾶς, νῦν δ᾽ ἀπειλήσαντες, τοὺς
now indeed having-flattered us now and having-threatened the
ἵππους παραγαγόντες ἐπὶ τὸν χάρακα ἴεσαν, μηχανάς τε
horses having-led-back to the camp went engines both
παρασκευάσαντες καὶ τὴν πάλην παρασκευάσαντες, καὶ
having-prepared and the struggle having-prepared and
τὴν πόλιν πάλιν πολιορκήσαντες ἄντικρυς.
the city again having-besieged outright

Ὁ δέ γε βασιλεὺς, ἐπειδὴ καθ᾽ ἑαυτὸν ἐγεγόνει, δεινὸν 112
the and at-least emperor when by himself he-had-become dreadful
ποιεῖται εἰ μή τινας αὐτοῖς στρατιώτας σχεδιάσοι,
makes(-it) if not some against-them soldiers he-should-improvise
ἀποταφρεύσοι τε τούτοις τὰς εἰσβολὰς καὶ ἀποτειχίσοι
should-entrench both against-these the approaches and should-wall-off
τὴν εἴσοδον, πόρρω τε στήσοι ὥστε μὴ τῶν
the entry far both should-set(-them) so-as not the(-things)
λεγομένων ἀκούειν, μηδ᾽ ἐμφορεῖσθαι τῶν ὕβρεων· καὶ
said to-hear nor to-take-one's-fill of-the insults and
τοῦτο δὴ πρῶτον κακῶς λογισάμενος, εἶτα δὲ καὶ πρός
this indeed first badly having-reckoned then and also to
τινας τῶν ἀπειροπολέμων ἐξενεγκών, ἐπειδὴ τοῖς πολλοῖς
some of-the unwarlike having-disclosed(-it) since to-the many
τὸ δόξαν ἤρεσε, πρῶτα μὲν διερευνᾶται τὰ δεσμωτήρια
the decision pleased first indeed searches the prisons
καὶ εἴ πού τι φῦλον παρὰ τούτοις στρατιωτικὸν
and if somewhere any tribe among these military
κατακέκλειστο, τούτους ἐξενεγκών τε καὶ καθοπλίσας,
had-been-shut-up these having-brought-out both and having-armed
τόξα τε δοὺς καὶ δοράτια, ἑτοιμάζει πρὸς πόλεμον·
bows both having-given and javelins prepares for war
ἔπειτα πλῆθος πολιτικῶν οὐκ ὀλίγων (ἐθελονταὶ δὲ οὗτοι
then multitude of-citizens not few volunteers and these
τοῖς λόχοις ἑαυτοὺς ἐνεδίδοσαν, ὥσπερ τι τῶν ἄλλων καὶ
to-the companies themselves offered as-if any of-the other(-things) also
τὸν πόλεμον παίζοντες), τῷ λοιπῷ στίφει συναριθμεῖ·
the war playing with-the remaining troop he-numbers
καὶ διὰ πάσης τῆς νυκτὸς πέριξ τῆς πόλεως τόπον
and through all the night around the city place
περιταφρεύσας, χάρακα ἐκεῖσε ἱδρύεται· καὶ ἅμα πρωΐ,
having-entrenched palisade there sets-up and at-once at-dawn

πρὶν ἢ τοὺς πολεμίους ἐπιστῆναι τῷ ἄστει, τὴν λογάδα
before than the enemies to-come-upon the town the picked(-force)
τῶν παρ᾽ ἡμῖν διατάξας καὶ κατ᾽ ἀντικρὺ στήσας
of-the with us having-drawn-up and at opposite having-set
ἐκείνοις, τὸ μὲν ἱππέων μερίδας, τὸ δὲ συντάξεις
to-those partly indeed of-horsemen squadrons partly and units
ψιλῶν, ὅπλοις τε σκεπαστηρίοις πάντας περιφραξάμενος
of-light(-troops) with-arms both protective all having-fenced
κατὰ λόχους ξύμπαντας ἵστησι, καὶ αὐτὸς αὖθις ἐν
by companies all sets and himself again on
μετεώρῳ καθίσας ἐξ ἀπόπτου ἐγνώκει τὸ μέλλον ἰδεῖν.
high having-sat from (a)-vantage had-resolved the coming to-see
113 Τούτων δὲ οὐδὲν ᾔδεσαν οἱ πολέμιοι, ἀλλ᾽ ἐπειδὴ
of-these but nothing knew the enemies but when
πλησιάσαντες ἀθρόοις τοῖς καθ᾽ ἡμᾶς λόχοις ἐντετυχήκεσαν,
having-approached massed the on our(-side) companies they-had-met
πρῶτα μὲν τοὺς χαλινοὺς ἐπισχόντες ἠξίουν μαθεῖν ὁπόθεν
first indeed the reins having-checked thought-fit to-learn whence
ἡμῖν ἀθρόον οὕτω συνελέγη τὸ στρατόπεδον· ἐδεδοίκεσαν γὰρ
for-us suddenly thus was-gathered the army they-had-feared for
μή τις ἀπὸ τῆς ἑῴας μερὶς ἐπιβοηθήσασα παραγέγονεν· ἐπεὶ
lest some from the east portion having-come-to-help has-arrived when
δὴ ἐγνώκεισαν ὅτι ἀγυρτικὸς ὄχλος αἱ παρ᾽ ἡμῖν δυνάμεις
indeed they-had-learned that vagabond rabble the with us forces
τυγχάνουσιν ὄντες, τήν τε ταφρίαν οὐδὲν ἔχουσαν βαθὺ
happen being the both trench nothing having deep
καὶ δύσβατον ἐθεάσαντο, τῆς τοῦ κρατοῦντος ἀβελτηρίας
and hard-to-cross they-saw at-the of-the ruler stupidity
καταγελάσαντες, καὶ τοῦτον εἶναι αὐτοῖς τὸν ἐπιζητούμενον
having-laughed and this to-be for-them the sought-for
καιρὸν ἐγνωκότες, συνησπικότες ἀλλήλοις καὶ τὸ ἐνυάλιον
moment having-recognized having-locked-shields with-one-another and the war-cry

ἀλαλάξαντες, ἀθρόοι κατ᾽ ἴσον συνεισβαλόντες τοῖς
having-raised massed on even(-front) having-charged-together with-the
ἵπποις καὶ ῥᾷστα τὴν ταφρίαν ὑπερπηδήσαντες, τρέπουσί
horses and most-easily the trench having-leapt-over rout
τε εὐθὺς τοὺς τέως συντεταγμένους, καὶ κατὰ νώτου
both at-once the(-men) till-then drawn-up and at (the)-back
τούτοις γινόμενοι ἄρδην ἀνῄρουν τὰ μὲν ξίφεσι, τὰ
to-them coming utterly they-destroyed(-them) partly indeed with-swords partly
δὲ δόρασιν· οἱ δὲ πλείους ὑφ᾽ ἑαυτῶν συνωθούμενοι καὶ
and with-spears the and most by themselves being-crushed and
τῶν ἵππων ἐξολισθαίνοντες αὐτοῦ που συνεπατοῦντο
from-the horses slipping-off there somewhere were-trampled
καὶ διεφθείροντο· ἔφευγον δὲ οὐ μόνον ὅσοι τοῦ
and perished fled and not only as-many-as the
ἄστεως ἐκτὸς ἐγεγόνεισαν, ἀλλὰ δὴ καὶ ὅσοι πρὸς
town outside had-been but indeed also as-many-as by
τῷ βασιλεῖ ἑστῶτες ἐτύγχανον· ᾤοντο γὰρ αὐτίκα τὸν
the emperor standing happened they-thought for at-once the
τύραννον εἰσιέναι καὶ πάντας διαφθαρήσεσθαι.
tyrant to-be-entering and all to-be-going-to-perish
Καὶ εἴ τις τοὺς τῆς προνοίας λόγους ἐάσειε, οὐδὲν ἦν 114
and if one the of-the providence reasons should-leave-aside nothing was
ἐμποδὼν ἐκείνοις ἐντός τε τῶν τειχῶν γενέσθαι καὶ τοῦ
in-the-way for-them inside both the walls to-get and the
ἐφετοῦ τυχεῖν ἐλευθέρως· οἵ τε γὰρ ταῖς τῶν τειχῶν
desired to-obtain freely the(-men) both for at-the of-the walls
εἰσόδοις ἐφεστηκότες τὴν φρουρὰν ἀφέντες, ἐζήτουν ὅπη
entrances stationed the guard having-abandoned sought where
τις ἐκείνους φρουρήσειε· ἥ τε πόλις ξύμπασα, οἱ μὲν
anyone them might-guard the and city whole some indeed
εἰς αὐτοὺς ἀνακεχωρήκεσαν, οἱ δ᾽ ὑπαντῆσαι τῷ τυράννῳ
into themselves had-withdrawn others and to-meet the tyrant

ἐπροθυμήθησαν· ἀλλ᾽ οὗτος τὴν εἴσοδον ἅπαξ ἀποδειλιάσας,
were-eager but he the entry once having-shrunk-from
ἢ μᾶλλον τεθαρρηκὼς ὡς παρ᾽ ἡμῶν εἰς τὴν βασιλείαν
or rather having-trusted that by us to the empire
παρακληθείη καὶ ὑπὸ προηγουμένῳ φωτὶ καὶ βασιλείῳ
he-would-be-invited and under leading light and imperial
πομπῇ ἀναχθείη εἰς τὰ βασίλεια, τὴν μὲν εἴσοδον ἐς
procession would-be-led-up to the palace the indeed entry to
αὔριον ἀναβάλλεται, παρελαύνων δὲ τὸν ἵππον ἐφ᾽ ἕκαστα
tomorrow postpones riding-along and the horse to each
τὰ μέρη τῶν οἰκείων δυνάμεων, μηδένα παίειν ἐβόα, μηδὲ
the parts of-the own forces no-one to-strike shouted nor
πληροῦσθαι φόνου συγγενικοῦ, κἂν εἴ τινα ἴδοι τὸ
to-be-filled with-blood kindred and-even if anyone he-saw the
ἀκόντιον ἐπισείοντα ἢ τῷ δόρατι βαλεῖν ἐθέλοντα τὸν
javelin brandishing or with-the spear to-strike wishing the(-man)
ἀγχοῦ, ἐπεῖχε τὴν χεῖρα καὶ ἠλευθέρου τὸν φεύγοντα.
near he-checked the hand and freed the fleeing(-man)
115 Ὁ τοίνυν βασιλεὺς, μόνος δὲ ἄρα καταλέλειπτο ὡς
the therefore emperor alone and after-all had-been-left as
αὐτίκα τεθνηξόμενος, ἐπειδὴ τούτων ἤκουσε τῶν φωνῶν,
at-once going-to-die when these heard the words
καὶ τὸν τύραννον εἶδε τοὺς φόνους ἀποτρεπόμενον, "τοῦτό
and the tyrant saw the slaughters averting this
με μόνον τῶν ἄλλων θράττει δεινῶς, πρὸς ἐμὲ στραφεὶς
me alone of-the others troubles terribly to me having-turned
ἔφησε, ὅτι τυραννεῖν ὁ δεινὸς ἀνὴρ ἐπιβαλλόμενος,
he-said that to-usurp the dread man attempting
φιλανθρώπους ἀφίησι καὶ ἡμέρους φωνάς· δέδοικα γὰρ
humane lets-out and gentle words I-fear for
μὴ ἐντεῦθεν τὴν θείαν ἑαυτῷ συνεπισπάσηται δύναμιν!"
lest hence the divine to-himself he-may-draw power

Τῆς δὲ ἀδελφῆς ἀποδυρομένης, φημὶ δὴ τῆς πρεσβυτέρας 116
the and sister lamenting I-mean indeed the elder
(ἡ γὰρ Εὐπρέπεια ὑπερορίαν καταδεδίκαστο), καὶ φυγεῖν
— for Euprepia exile had-been-sentenced(-to) and to-flee
αὐτὸν προτρεπούσης, εἴς τινά τε τῶν θείων ναῶν
him urging into some and of-the holy churches
καταφυγεῖν, ταυρηδὸν πρὸς αὐτὴν ἀποβλέψας, "ἀπαγέτω
to-take-refuge bull-like at her having-glared let-lead-away
τις αὐτὴν, ἔφησεν, ἥτις ἡμῖν καταλέλειπται, ἵνα καθ᾽
someone her he-said who for-us has-been-left that by
ἑαυτὴν τὸν θρῆνον ποιοῖτο, καὶ μὴ τὴν ἐμὴν καταμαλθακίζοι
herself the lament she-may-make and not the my may-soften
ψυχήν! τὸ γὰρ εὐτύχημα, φησὶ, τῷ τυράννῳ (πρὸς ἐμὲ
soul the for good-fortune he-says for-the tyrant to me
αὖθις ὑποστραφεὶς) τὴν τήμερον περιώριστο· τὸ δέ γε
again having-turned the today had-been-bounded the but at-least
λοιπὸν, ὥσπερ ψάμμου ὑποσπασθείσης αὐτῷ, πρὸς
rest as-if sand having-been-pulled-from-under him to
τοὐναντίον χωρήσει τὰ πράγματα."
the-opposite will-go the affairs
Ὁ μὲν οὖν τύραννος ταῦτα διαπραξάμενος, αἰχμαλώτους 117
the indeed then tyrant these(-things) having-done captives
τε οὐκ ὀλίγους ζωγρήσας, συντεταγμένος ἐπὶ τὸν χάρακα
and not few having-taken-alive drawn-up to the camp
ἄπεισιν· ὁ δέ γε αὐτοκράτωρ οὐδὲν αὖθις καινοτομήσειν
goes-off the but at-least autocrat nothing again to-be-going-to-attempt
ἐπ᾽ ἐκεῖνον ἐσκέψατο, ἀλλὰ τὰς τῶν τειχῶν εἰσόδους
against him considered but the of-the walls entrances
καθαρμοσάμενος, τό τε πλῆθος δημαγωγήσας τῆς πόλεως
having-secured the both multitude having-courted of-the city
καὶ τῆς προλαβούσης αὐτοὺς εὐνοίας ἀποδεξάμενος, τῆς
and for-the earlier them goodwill having-commended for-the

δέ γε μελλούσης ἔπαθλα ὥσπερ ἐπ᾽ ἀγωνίαις προθεὶς,
and at-least coming prizes as-if for contests having-set-out
εὐπετῶς τὴν πολιορκίαν διήνεγκεν· ὁ δέ γε τύραννος
easily the siege bore the but at-least tyrant
τὴν νύκτα μόνην ἐκείνην ἐπὶ τοῦ χάρακος αὐλισάμενος,
the night only that in the camp having-bivouacked
ἐπειδὴ ὄρθρος ἐγεγόνει, τὰς δυνάμεις ἀναλαβὼν ὡς ἐπὶ
when dawn had-come the forces having-taken-up as to
προκειμένην τὴν βασιλείαν συνήλαυνε, τούς τε αἰχμαλώτους
lying-ready the empire drove-on the and captives
δεσμίους ἀπαγαγὼν πρὸ τῶν τειχῶν ἵστησι, διδάξας ὅ
bound having-led before the walls sets having-taught what
τι δὴ πρὸς τὸν καιρὸν φθέγξαιντο· οἱ δὲ διαστάντες,
— indeed for the occasion they-should-say they and having-spread-out
ἐλεεινοὶ καὶ ταῖς φωναῖς καὶ τοῖς σχήμασι, πρὸς μὲν τὸν
pitiable both in-the voices and in-the bearings toward indeed the
βασιλέα οὐδένα ἐποιοῦντο λόγον, τὸ δέ γε πλῆθος ἠξίουν
emperor no made account the but at-least multitude they-begged
μὴ καταφρονῆσαι ὁμοφύλου καὶ συγγενικοῦ αἵματος, μηδὲ
not to-despise kindred and related blood nor
θέλειν τοῖς ὀφθαλμοῖς αὐτοὺς ἐπιδεῖν ἐλεεινὸν θέαμα,
to-wish with-the eyes them to-look-on pitiable spectacle
ὥσπερ ἱερεῖα μελιζομένους, μηδ᾽ εἰς τοσοῦτον ἡμᾶς ἀτυχίας
like victims being-dismembered nor to so-much us of-misfortune
ἐλάσαι ὥστε τοιούτου καταφρονῆσαι αὐτοκράτορος, ὁποῖος
to-drive so-as such to-despise autocrat as
οὐδεὶς ἐγεγόνει τῶν πάντων, οὗ δὴ αὐτοὶ πεπείρανται
no-one had-been of-the all of-whom indeed themselves have-had-experience
ἀκριβῶς· ἐξὸν γὰρ ἄχρι τοῦ νῦν ἀναιρήσειν αὐτοὺς καὶ
exactly it-being-possible for until the now to-be-going-to-kill them and
διαχρήσασθαι ὡς πολεμίους, ὁ δὲ ἄχρι τοσούτου ἀναβάλλεται
to-make-away-with as enemies he but until so-long puts-off

τὴν σφαγὴν, ἡμῖν τὰς ἐκείνων ψυχὰς χαριζόμενος· πρὸς
the slaughter to-us the their lives granting besides
τούτοις καὶ τὰ περὶ τοῦ παρ᾽ ἡμῖν βασιλέως
these also the(-things) about the with us emperor
ἐπετραγῴδουν δεινὰ, καὶ ὡς κατ᾽ ἀρχὰς ταῖς ἐλπίσι τῆς
they-declaimed dreadful and how at (the)-start with-the hopes of-the
πόλεως ἐπάρας, εἰς τοὔσχατον ἐκ τῶν νεφῶν ἀφῆκεν ἐπὶ
city having-raised(-it) to the-uttermost from the clouds he-let-drop onto
κρημνόν. Τὰ μὲν τῶν αἰχμαλώτων ὡς ἐπὶ κεφαλαίῳ
(a)-cliff the(-things) indeed of-the captives as in summary
τοιαῦτα, αἱ δὲ παρὰ τοῦ δήμου φωναὶ ὁποῖαι καὶ πρότερον.
such(-were) the but from the people words such-as also before
Εἶτα δὲ καί τι τοιοῦτον ἐπισυμβεβήκει· λίθων ἀξιόλογα 118
then and also something such befell of-stones considerable
βάρη ἀπὸ τῶν ἐντὸς τειχῶν ἐπὶ τοὺς πολεμίους ἐπετοξεύοντο,
weights from the inside walls at the enemies were-shot
κατευστόχουν δὲ οὐδενὸς, ἀλλὰ τοῦ σκοποῦ ἀπερριπτοῦντο
hit but nothing but of-the mark were-thrown
ἐκτός· τηνικαῦτα δὲ εὐτονώτερον οἱ ἀνθέλκοντες τὸ
outside then but more-vigorously the(-men) hauling-back the
μηχάνημα, τὴν σφενδόνην ἀντανακλάσαντες, λίθον τινὰ
engine the sling having-bent-back stone some
τῶν ἀδροτέρων κατ᾽ αὐτοῦ τοῦ τυράννου ἐπιρρίπτουσι, καὶ
of-the bigger against the-very the tyrant hurl and
τούτου μὲν ἀποτυγχάνουσι, φυγὴν δὲ καὶ πτοίαν ἐκείνῳ
him indeed miss flight but and terror into-him
τε καὶ τοῖς περὶ αὐτὸν ἐμβάλλουσιν· ὅθεν ἅπαξ
both and into-the(-men) around him throw whence once
κατασεισθέντες τῷ δέει καὶ πρὸς ἑαυτοὺς συγχυθέντες, τόν
having-been-shaken by-the fear and among themselves having-been-confounded the
τε συνασπισμὸν ἔλυσαν καὶ πρὸς τὸν χάρακα ὑποστρέφουσιν.
both shield-wall broke and to the camp return

119 Ἐντεῦθεν αὐτοῖς εἰς τοὐναντίον κεχωρήκει τὰ πράγματα,
from-then for-them to the-opposite had-gone the affairs
καὶ βραχύ τι ταῖς ἐλπίσι μετεωρισθέντες, εἰπεῖν δὲ
and a-little somewhat with-the hopes having-been-raised to-say and
καὶ τῷ πάσχοντι τοῦ καιροῦ, ταχὺ κατωλίσθησάν τε
also with-the suffering of-the moment quickly they-slipped-down both
καὶ διερρύησαν· οὐκ ἔτι γοῦν αὖθις τῷ τείχει τῆς
and melted-away not any-longer at-any-rate again to-the wall of-the
πόλεως προσεπέλασαν, ἀλλ᾽ ὀλίγας τινὰς ἐν ᾧ
city they-approached but few some in which(-place)
κατεσκήνωσαν ἡμέρας διαυλισάμενοι, παλινδρομοῦσιν ὅθεν
they-had-encamped days having-bivouacked run-back whence
προσήλασαν, οἱ πλείους ἀσύντακτοι καὶ ὡς φυγάδες·
they-had-come the most disordered and as fugitives
τηνικαῦτα γοῦν εἴ τινες αὐτοῖς ἑκκαίδεκα ἢ πλείοσιν
then at-any-rate if any to-them sixteen or more
ὀλίγοι ἱππόται ἐφάνησαν κατὰ νώτου γενόμενοι ἔφευγον,
few horsemen appeared at (the)-back having-come they-fled
οὐδὲ πυρφόρος ἂν ὑπελείφθη τῷ διεσπαρμένῳ ἐκείνῳ
not-even fire-bearer — would-have-been-left to-the scattered that
στρατοπέδῳ καὶ ἀσυντάκτῳ. Ἀλλ᾽ ὁ αὐτοκράτωρ, καίτοι
army and disordered but the autocrat although
γε τὴν τούτων φυγὴν προειδὼς, οὐκ ἐπεχείρησε τῇ
at-least the their flight having-foreseen not attempted the
διώξει, ἀλλ᾽ ἐπέσχεν αὐτὸν τὸ πρότερον δέος, καὶ διὰ
pursuit but held-back him the earlier fear and because-of
ταῦτα κρίσιν οὐκ ἔλαβε τοῦ καιροῦ.
these(-things) judgment not he-took of-the moment
120 Ἡμῖν μὲν οὖν καὶ ἡ ἐκ τοῦ χάρακος ἀναχώρησις
to-us indeed then even the from the camp withdrawal
τρόπαιον περιφανέστατον ἔδοξε, καὶ τὸ τῆς πόλεως
trophy most-glorious seemed and the of-the city

πλῆθος ἐκεῖσε χυθέντες πλείστοις ἐφοδίοις τῶν
multitude there having-poured very-many supplies of-the(-men)
αὐτόθι κατασκηνωσάντων ἐπιτυγχάνουσιν· οὐ γὰρ εἶχον
there having-encamped come-upon not for they-could
αὐτὰ τοῖς ὑποζυγίοις ἀναθέσθαι τε καὶ ἐπιφορτίσασθαι,
them on-the pack-animals to-load both and to-burden-with
πλείονα ποιούμενοι λόγον ὅπως ἂν λάθοιεν ἐκεῖθεν
more making account how — they-might-escape-notice thence
ὑποχωρήσαντες, ἢ τοῦ πλουσίους καὶ ἐμπαρασκεύους
having-withdrawn than of-the rich and well-equipped
ποιήσασθαι τὴν φυγήν· ἐπεὶ δὲ ἀνακεχωρήκεσαν, δι᾽ ὀργῆς
to-make the flight when and they-had-withdrawn in anger
εὐθὺς εἶχον τὸν ἄγοντα, καὶ ἕκαστος τῷ καθ᾽ ἑαυτὸν δέει
at-once they-held the leader and each by-the for himself fear
φεύγειν ἐκεῖθεν ὡρμημένος, τῷ πρὸς ἀλλήλους φόβῳ καὶ
to-flee thence having-set-out by-the toward one-another fear and
τῷ δυσεπιτεύκτῳ τοῦ πράγματος αὖθις συνείχετο. Τέως
by-the difficulty of-the thing again was-held-back meanwhile
γοῦν ὅσους ὁ καιρὸς ἐδίδου λαθεῖν, ἀπνευστὶ πρὸς
at-any-rate as-many-as the moment allowed to-escape-notice breathlessly to
τὸν αὐτοκράτορα καὶ τὴν πόλιν κατέθεον, οὐ τῶν ἐν
the autocrat and the city ran-down not of-the in
πλήθει μόνον στρατιωτῶν, ἀλλὰ καὶ τῶν ἐν τέλει καὶ
(the)-ranks only soldiers but also of-the(-men) in office and
τῶν στρατηγούντων. Τῷ δὲ τυράννῳ καὶ δεύτερόν τι, καὶ
of-the commanding to-the but tyrant both second some and
τρίτον, καὶ ἄλλο ἐπ᾽ ἄλλῳ προκεχωρήκει κακόν· τοῖς γὰρ
third and other upon other had-advanced evil to-the for
πρὸς ἑσπέραν προσβαλὼν φρουρίοις, εὐαλώτοις ἄλλως τῇ
toward (the)-west having-attacked forts easy-to-take otherwise by-the
τε τοῦ τόπου ἐπιτηδειότητι καὶ τῇ τῶν τειχῶν διαιρέσει,
both of-the place suitability and by-the of-the walls breaching

τῷ μὴ προσδοκᾷν πολλοῦ χρόνου πολέμιον, οὐδὲν
by-the not to-expect for-much time enemy none
τούτων ὤφθη ἐκ πολιορκίας παραστησάμενος, τῶν
of-these he-was-seen by siege having-reduced of-the(-men)
προστεταγμένων τειχομαχεῖν οὐ τοῦ πολιορκεῖν λόγον
ordered to-storm-walls not of-the to-besiege account
ἐχόντων, ἢ τοῦ παλινδρομεῖν, καὶ τοῦτο αὐτὸ δεικνύειν τοῖς
having than of-the to-run-back and this itself to-show to-the
πολιορκουμένοις, ὅτι μὴ βούλοιντο ἐκείνοις ἐναντιοῦσθαι,
besieged that not they-wished them to-oppose
εἰμὴ ὅσον ταῖς προσελάσεσι καὶ τοῖς σχήμασιν.
except as-far-as by-the approaches and by-the shows

121 Ὁ μὲν οὖν τυραννήσας οὕτως αἰσχρῶς τῆς μεγάλης
the indeed then having-usurped thus shamefully from-the great
πόλεως ἀπαλλάττεται, καὶ ἔτι αἴσχιον τοῖς ἐφεξῆς
city departs and yet more-shamefully to-the next
φρουρίοις προσβαλὼν ἀντεκρούετο· ὁ δέ γε αὐτοκράτωρ
forts having-attacked was-beaten-back the and at-least autocrat
καὶ τὰς δυνάμεις ἐκ τῆς ἑῴας ἀνακαλεῖται, καὶ, ἐπειδὴ
both the forces from the east recalls and when
τάχιστα ἐπανεληλύθεσαν, κατὰ τῶν ἑσπερίων ὁμοφύλων
soonest they-had-returned against the western kinsmen
ὁμοῦ καὶ βαρβάρων ἀφίησιν· οἱ δ' ἐπειδὴ ἐγνώκεσαν
together and barbarians sends-out(-them) they and when they-had-learned
τὴν τῶν ἑῴων στρατευμάτων ἐπέλευσιν, οὐκ ἔτι
the of-the eastern armies approach not any-longer
βουλὴν περὶ τοῦ μάχεσθαι ἢ μὴ ἐποιήσαντο πρὸς αὐτοὺς,
counsel about the to-fight or not they-made among themselves
ἀλλὰ διασπαρέντες εὐθὺς καὶ κακῶς εἰπόντες τὸν
but having-scattered at-once and badly having-spoken-of the
τύραννον, οἱ μὲν ἐπ' οἴκου παλινοστοῦσιν, οἱ δέ
tyrant some indeed to home return others and

γε πλείους τῷ αὐτοκράτορι προσερρύησαν, πολλὰ
at-least most to-the autocrat flowed-over many(-oaths)
πρότερον ὀμωμοκότες καὶ καθ' ἱερῶν τὰ πιστὰ δόντες,
before having-sworn and by holy(-things) the pledges having-given
ὥστε σὺν ἀλλήλοις καὶ μετ' ἀλλήλων ἐπὶ τοῖς τοῦ
so-as with one-another and among one-another before the of-the(-man)
τυραννεύσαντος ἀποθανεῖν ὀφθαλμοῖς, ἀλλὰ τηνικαῦτα τῷ
having-usurped to-die eyes but then by-the
δέει παγέντες ἐλάχιστα τῆς συνωμοσίας ἐμέμνηντο.
fear frozen least the conspiracy remembered
Εἷς δὲ τῶν πάντων, συστρατιώτης ἄνωθεν τῷ τυράννῳ, 122
one but of-the all fellow-soldier from-of-old to-the tyrant
Ἰωάννης τὸ ὄνομα, τὴν προσηγορίαν Βατάτζης, ἀνὴρ
John in-the name in-the surname Batatzes (a)-man
κατά τε σώματος φύσιν καὶ χειρῶν ἀκμὴν τοῖς
in both of-body nature and of-hands vigor with-the
θρυλλουμένοις ἐκείνοις ἐφάμιλλος ἥρωσι, μέχρι παντὸς
celebrated those rivaling heroes until all(-time)
παραμεμενήκει τῷ τυραννεύσαντι· ἀμέλει καὶ φυγόντι
had-stood-by the(-man) having-usurped indeed both having-fled
καὶ εἰς θεῖον καταπεφευγότι ναὸν συμπέφευγέ τε καὶ
and into holy having-taken-refuge church fled-with both and
συγκατέφυγεν, ἐξὸν ἐκεῖνον λιπεῖν καὶ τὰς πρώτας
took-refuge-with it-being-possible him to-leave and the first
ἔχειν τιμὰς, ὁ δὲ ἀλλ' ἐν δευτέρῳ τἄλλα θέμενος
to-have honors he but nevertheless in second(-place) the-rest having-put
τὴν ἐπὶ τοῖς ὅρκοις πίστιν οὐ διεψεύσατο. Οἱ μὲν οὖν
the on the oaths faith not belied they indeed then
ἔς τι τῶν ἱερῶν ἀδύτων καταπεφεύγασι, καὶ τὰ ξίφη
into some of-the holy sanctuaries have-fled and the swords
σπασάμενοι ἠπείλουν ἀποκτενεῖν ἑαυτοὺς, εἴ τις ἐκεῖθεν
having-drawn threatened to-be-going-to-kill themselves if anyone thence

σὺν βίᾳ ἀπάγειν αἱροῖτο· δι᾽ ὅρκων γοῦν τὸ
with force to-lead-away(-them) should-choose through oaths at-any-rate the
πιστὸν εἰληφότες ἐκεῖθέν τε ἐξῄεσαν καὶ σφᾶς ἑαυτοὺς τῷ
pledge having-received thence both came-out and them themselves to-the
ἐγγυησαμένῳ παραδεδώκασιν· ἀλλ᾽ ὁ μὲν τυραννεύσας
guarantor have-handed-over but the indeed having-usurped
εὐθὺς καταπεπτώκει πρὸς τὸν καιρὸν, καὶ τοῦτο μὲν
at-once had-collapsed before the occasion and partly indeed
ἐλεεινὰς ἀφίει φωνὰς, τοῦτο δὲ πρὸς λιπαρήσεις ἐτράπετο,
pitiable let-out words partly and to entreaties turned
καὶ τοῦτο δ᾽ ἄλλο τι ποιῶν τῶν μὴ γενναίων ἐδείκνυτο·
and partly and other something doing of-the not noble showed-himself
ὁ δέ γε Βατάτζης οὐδὲ ἐν τοῖς δεινοῖς γεγονὼς
— but at-least Batatzes not-even in the terrors having-come
ἐπιλέληστο τοῦ φρονήματος, ἀλλὰ σοβαράν τε αὖθις
had-forgotten the spirit but haughty both again
εἶλκεν ὀφρὺν καὶ γενναῖος ὤπτο πᾶσι καὶ ἀκατάπληκτος.
drew brow and noble was-seen by-all and undaunted

123 Ἐπὶ τούτοις ὁ αὐτοκράτωρ ἐβούλετο μὲν μηδενὶ τῶν
upon these the autocrat wished indeed against-none of-the
ὅλων μνησικακῆσαι, μηδέ τι δρᾶσαι τοὺς τετολμηκότας
whole to-bear-grudges nor any to-do the(-men) having-dared
δεινὸν, θεῷ τε τοῦτο ἐπαγγειλάμενος καὶ τὰ φρικωδέστατα
harm to-God both this having-promised and the most-dreadful
ἐπαρασάμενος ἑαυτῷ, εἰ μὴ πᾶσι τοῖς ἀντάρασιν αὐτῷ
I-would-be-beforehand with-all slaughters and cuts perishing
ἐδεδίειν δὲ μάλιστα καὶ αὐτὸν δὴ τὸν κρατοῦντα, μή
I-feared and most also himself indeed the ruler lest
πως τῶν παρ᾽ ἐμοῦ πρὸς αὐτὸν λόγων ἐπιμνησθεὶς,
somehow of-the from me to him words having-recalled
καὶ ὡς ἐπεποιήκειν τοῦτον ἰδιωτεῦσαι μικροῦ δεῖν, πᾶσάν
and how I-had-made him to-be-private by-little to-lack every
μοι ἐπενέγκοι τιμωρίαν καὶ βάσανον· πάντων τοιγαροῦν
on-me he-might-inflict punishment and torture all accordingly
ἀφυπνωσάντων, μόνος ἐγὼ τοὺς σφαγέας ἀνέμενον, καὶ εἴ
having-fallen-asleep alone I the slayers awaited and if
πού τινος αἰσθοίμην φωνῆς ἢ ψόφου περὶ τὴν σκηνὴν
anywhere any I-perceived voice or noise around the tent
πέριξ, αὖος εὐθὺς καθειστήκειν, τοῦτον αὐτίκα τὸν
round-about dried-up at-once I-stood this(-one) at-once the
ἐμὸν σφαγέα οἰόμενος. Ὡς δ᾽ οὕτω με λαθὸν τὸ
my slayer thinking when and thus me having-escaped-notice the
πολὺ τῆς νυκτὸς παρελήλυθεν, καὶ βαθὺς ἐγεγόνει ὄρθρος,
most of-the night had-passed and deep had-come dawn

ἀνέπνευσά τι βραχὺ, τὸ ἐν ἡμέρᾳ διολεῖσθαι
I-breathed somewhat a-little the in day to-be-going-to-perish
ἔλαττόν τε κακὸν ἡγούμενος· βραχὺ δὲ τῆς σκηνῆς
lesser and evil thinking slightly and from-the tent
προκύψας ἀνακαιόμενά τε πυρὰ ἑώρων καὶ περὶ τὴν
having-peeped-out being-kindled both fires I-saw and around the
βασίλειον αὐλὴν λαμπάδας ἡμμένας, καὶ πάντα θορύβου
imperial court torches lit and all-things of-uproar
μεστά· ἐνετέταλτο γὰρ πᾶσι παρασκευάσασθαί τε καὶ
full it-had-been-ordered for to-all to-prepare both and
πρὸς τὴν πόλιν μετασκευάζεσθαι· οὔπω δὲ τοῦ φωστῆρος
to the city to-pack-up not-yet and the luminary
ἐπανατείλαντος, ὁ βασιλεὺς ἀθρόον ἱππασάμενος ἔξεισι·
having-risen the emperor suddenly having-mounted goes-out
καὶ ἡμεῖς μὲν οὐκ εὐθὺς, κατόπιν δὲ τούτου προῄειμεν.
and we indeed not at-once behind but him went-forward
39 Ἐγὼ μὲν οὖν ἐδόκουν, ἐπειδὰν ἀρκοῦν προΐῃ διάστημα,
I indeed then thought when sufficient he-should-advance distance
μετακληθῆναί τε αὐτῷ καὶ λόγους δοῦναι τῆς τῶν λόγων
to-be-summoned both by-him and account to-give for-the of-the words
πειθοῦς· ὁ δέ με μετὰ πάσας μετακαλεσάμενος προσδοκίας,
persuasion he but me beyond all having-summoned expectations
οὐδενὸς τῶν πάντων ἐπιμνησθεὶς, οὐ προτάσεων, οὐκ
nothing of-the all having-mentioned not of-premises not
ἀντιθέσεων, οὐ λύσεων, οὐ τεχνικῶν ἐφόδων τε καὶ
of-objections not of-solutions not of-artful approaches both and
μεθόδων, οὐ πειθοῦς, οὐκ ἀπάτης, ἀπορρήτων τέ μοι
methods not of-persuasion not of-deceit secret and to-me
λόγων ἀπάρχεται καὶ κοινωνὸν τῶν βασιλείων φροντίδων
words begins and partner of-the imperial cares
ποιεῖται, καὶ πυνθάνεταί μου πῶς ἂν ἄριστα βασιλεύσειε,
makes(-me) and inquires of-me how — best he-might-reign

καὶ τί ποιῶν τοῖς μεγίστοις αὐτοκράτορσι διερίσειεν· ἐγὼ
and what doing with-the greatest autocrats he-might-vie I
δ' ἐπὶ τούτοις θαρρήσας, ἔμπνους τε γίνομαι τὴν ψυχὴν
and upon these having-taken-heart breathing both I-become in-the soul
καὶ, λόγους αὐτῷ διεξιὼν ἐπὶ τούτῳ μακροὺς, λαμπρῶς
and words to-him going-through on this long splendidly
εὐδοκίμησα· ἠγάσθη γάρ με ἐπὶ πᾶσιν ὁ βασιλεὺς, ὅθεν
I-was-esteemed admired for me for all the emperor whence
πολλάκις ἐπυνθάνετό μου καὶ τὰς ἀποκρίσεις ἐπανεκύκλει,
often he-inquired of-me and the answers went-over-again
οὐκ ἀφιστάμενος ἕως ἂν σαφῶς αὐτῷ τὸ ἐζητημένον
not desisting until — clearly to-him the(-thing) sought
ἐπαγγελθείη. Εἶτα δὴ καὶ τοὺς συμπρέσβεις περὶ αὐτὸν
was-declared then indeed also the fellow-envoys around him
συλλαβὼν, ὥσπερ τισὶ κοινωνοῖς τῶν γε πρώτων αὐτοῦ
having-gathered as some partners of-the at-least first his
βουλευμάτων ἐχρῆτο δὴ καὶ συλλήπτορσιν. Οὕτω δὲ
plans used indeed and helpers thus and
πρὸς ἀλλήλους ἔχουσιν, ἐπάνεισιν ὁ φωστὴρ, καὶ εὐθὺς
toward one-another being comes-up the luminary and at-once
πάντα ἐν φανερῷ καθειστήκει.
all-things in plain(-view) stood
Ἐκκέχυται γοῦν αὐτῷ ὁ τῆς πόλεως δῆμος ξύμπας, 40
has-poured-out at-any-rate for-him the of-the city populace whole
οἱ μὲν λαμπάδας ἡμμένας προσάγοντες ὡς θεῷ, οἱ δὲ
some indeed torches lit bringing as to-a-god others and
ἀρώμασι κατευωδιάζοντες, καὶ ἄλλος ἄλλο τι ποιῶν
with-spices perfuming and one another something doing
κεχαρισμένον ἐκείνῳ, ξύμπαντες δὲ συμπανηγυρίζοντες
pleasing to-him all and celebrating-together
καὶ πέριξ ἐπισκιρτῶντες, καὶ ὥσπερ τινὰ κρείττονος
and round-about leaping and as-if some of-a-higher(-being)

ἐπιφάνειαν τὴν ἐκείνου πρὸς τὴν βασιλίδα ἡγούμενοι
epiphany the his to the queen(-city) considering
εἴσοδον. Ἀλλὰ πῶς ἂν ὑμῖν ἐν βραχεῖ τὸ πολὺ
entry but how — to-you in brief the greater-part
διηγησαίμην τοῦ θαύματος; ἔγωγ' οὖν καὶ βασιλείοις
might-I-narrate of-the marvel I-at-least then both imperial
πομπαῖς πολλαῖς ἐντετυχηκὼς, καὶ πανηγύρεσι θειοτέραις
processions many having-encountered and festivals more-holy
παραγενόμενος, οὔπω τοιαύτην ἐθεασάμην λαμπρότητα·
having-attended never-yet such saw splendor
οὐ γὰρ δὴ τὸ δημοτικὸν τοῦτο πλῆθος, οὐδέ γε ἡ
not for indeed the popular this multitude nor at-least the
συγκλητικὴ τάξις, οὐδ' ὅσον ἐν γεωργίαις καὶ ἐμπορείαις
senatorial order nor as-many-as in farming and trades
τὴν τελετὴν ἐκείνην ἐπλήρουν, ἀλλὰ καὶ οἱ τὴν
the rite that filled but also the(-ones) the
κρείττω μετιόντες φιλοσοφίαν καὶ ὅσοι τὰ μετέωρα τῶν
higher pursuing philosophy and as-many-as the heights of-the
ὀρῶν κατειλήφασιν, ἢ γλύμματα πετρῶν ὑποδύντες, τὰς
mountains have-occupied or hollows of-rocks having-entered the
κοινὰς ἀφῆκαν διατριβὰς, ἢ ὅσοις ἐν αἰθέρι μέσον ἐγεγόνει
common left haunts or for-whom in air midway had-been
ὁ βίος, ξύμπαντες, οἱ μὲν τῶν πετρῶν ὑπεκδύντες,
the life all some indeed from-the rocks having-slipped-out
οἱ δὲ τῆς αἰθερίου καταβιβασθέντες διαγωγῆς, οἱ
others and from-the aerial having-been-brought-down way-of-life others
δὲ τῶν μετεώρων τὰ ἱππηλάσια ἀλλαξάμενοι, θαύματος
and for-the heights the riding-grounds having-exchanged with-wonder
ἐπλήρουν τὴν βασίλειον εἴσοδον.
filled the imperial entry

Ἐκεῖνος δὲ, καὶ γὰρ ἦν ἀγχίνους εἰ καί τις ἄλλος 41
he but and for he-was quick-witted if also anyone else
καὶ μὴ τοῖς κενοῖς τούτοις κλεπτόμενος ἢ ἐπαιρόμενος,
and not by-the empty these being-beguiled or being-elated
ὑπώπτευσέ τε αὐτίκα τὴν τῆς τύχης ἀκρότητα, καὶ μήπω
suspected both at-once the of-the fortune summit and not-yet
τοὺς λογισμοὺς καταστὰς ἀθρόον πρός με ἐπιστραφεὶς,
the reasonings having-settled suddenly to me having-turned
“δοκεῖ με, φησὶ, ὦ φιλόσοφε, σφαλερὸν εἶναι τοῦτο
seems to-me he-says O philosopher perilous to-be this
δὴ τὸ ἄκρον εὐτύχημα, καί μοι οὐκ οἶδα εἰ τὸ
indeed the extreme good-fortune and for-me not I-know if the
πέρας ἀπαντήσεται δεξιόν.” — “Φιλόσοφον, ἔφησα, τὸ
end will-turn-out favorable philosophic I-said the
ἐνθύμημα, ἀλλ’ οὔτε ἐς ἀεὶ ἐπαρίστερα τὰ τέλη ταῖς
thought but neither for always unlucky the ends to-the
δεξιαῖς ἀπαντῶσιν ἀρχαῖς, οὔτε, εἰ οὕτω καθείμαρται, οὐκ
favorable come beginnings nor if thus it-is-fated not
ἀναλυτέος ὁ ὅρος· καὶ γὰρ, ὡς ἐγὼ σοφωτέροις βιβλίοις
to-be-undone the limit and for as I wiser books
ὡμίλησα καὶ ἱλαστηρίοις εὐχαῖς, εἴ τις τὴν χείρω
have-studied and propitiatory prayers if anyone the worse
μεταβάλλει ζωὴν, αὐτίκα δὴ ἀναλύει τὸ εἱμαρτόν· λέγω
changes life at-once indeed undoes the fated I-say
δὲ ταῦτα ἑλληνικοῖς δόγμασιν ἀποχρώμενος· ἐπεὶ τό γε
but these(-things) Hellenic doctrines using since the at-least
καθ’ ἡμᾶς οὐδέν τι ἡμῖν εἵμαρται, οὐδὲ κατηνάγκασται,
in our(-faith) nothing at-all for-us is-fated nor is-compelled
ἀλλὰ τὰ τέλη ταῖς προλαβούσαις πράξεσιν ἀνάλογα· εἰ μὲν
but the ends to-the preceding deeds proportionate if indeed
οὖν τὴν φιλόσοφον γνώμην μεταβαλεῖς, τούτοις δὴ τοῖς
then the philosophic mind you-will-change by-these indeed the

λαμπροῖς τὴν σὴν ψυχὴν ἐπαρθεὶς, αὐτίκα σοι ἡ δίκη
splendors the your soul having-been-elated at-once to-you the justice
ἰταμώτερον ἀντιβήσεται· εἰ δ' οὖν, ἀλλ' ἔχε θυμὸν ἀγαθὸν,
more-boldly will-oppose if but then but have spirit good
ὡς οὐ βασκαίνει τὸ θεῖον ἐν οἷς δίδωσιν, ἀλλὰ πολλοῖς καὶ
as not begrudges the divine in what it-gives but for-many and
πολλάκις κατ' εὐθεῖαν ἤνεγκε τὴν γραμμὴν τῆς λαμπρότητος·
often along straight carried the line of-the splendor
πρῶτον γοῦν ἀπ' ἐμοῦ τῆς ἀρετῆς ἄρξαι, καί μοι μὴ
first at-any-rate from me the virtue begin and against-me not
μνησικακήσῃς ὧν πρεσβεύων ἰταμώτερον εἰρήκειν πρὸς
bear-a-grudge for-what as-envoy more-boldly I-had-said to
σὲ, βασιλέως γὰρ ὑπηρετήκειν βουλήματι, καὶ τὴν εἰς
you emperor's for I-had-served will and the toward
αὐτὸν οὐ προδέδωκα πίστιν· οὐ τοίνυν σοὶ βασκαίνων,
him not I-have-betrayed loyalty not therefore you begrudging
ἀλλ' ἐκείνῳ προσκείμενος ἐποιούμην τοὺς λόγους."
but to-him attached I-made the speeches

42 Ἐπὶ τούτοις ἐκεῖνος δακρύων πλήσας τοὺς ὀφθαλμοὺς,
upon these he with-tears having-filled the eyes
"ἀλλὰ μᾶλλον, ἔφη, ἐφίλουν τότε τὴν σὴν γλῶτταν
but more he-said I-loved then the your tongue
ὑβρίζουσαν, ἢ νῦν εὐφημοῦσάν τε καὶ θωπεύουσαν· ἄρξομαι
insulting than now praising both and flattering I-shall-begin
δὲ ὡς εἴρηκας ἀπὸ σοῦ, τὰ πρῶτα γάρ σε τῶν φίλων
and as you-have-said from you the first for you of-the friends
ποιοῦμαι, καὶ πρόεδρον ἤδη τιμῶ τε καὶ κατονομάζω
I-make and proedros already I-honor both and name
τῆς συγκλήτου βουλῆς." Οὕτω δὲ ταῦτα λέγουσιν, ὁ
of-the senatorial council thus and these(-things) to-(us)-saying the
μὲν ἥλιος ἐπὶ μεσημβρίαν εἱστήκει, ὁ δὲ ὑποδεξάμενος
indeed sun at midday stood the but having-received

ἡμᾶς κόλπος ἐδείκνυτο· ὡς δὲ καὶ ἡ βασίλειος ὁλκὰς
us bay was-shown when and also the imperial ship
κατεφαίνετο, αὐτίκα γοῦν ἄνθεσί τε καταπαττόμενος καὶ
appeared at-once at-any-rate with-flowers both being-sprinkled and
φωναῖς εὐφήμοις κατακροτούμενος, ἐμβὰς διαπόντιος
with-cries auspicious being-applauded having-embarked across-the-sea
ἀπὸ τῆς Προποντίδος εἰς τὰ βασίλεια πεποίητο θρίαμβον,
from the Propontis to the palace he-had-made triumph
ἐπ᾽ αὐτῆς δὴ τῆς ἑτοιμασίας παρακαθίσας ἡμῖν· καὶ
on very indeed the throne having-sat-beside us and
οὕτω δὴ καθαρῶς τοῦ κράτους ἐπείληπτο.
thus indeed clearly the sovereignty had-seized
Βασιλεὺς μὲν οὖν Μιχαὴλ ὁ πρεσβύτης ἐνιαύσιον κύκλον 43
emperor indeed then Michael the old yearly cycle
ἐν τῇ βασιλείᾳ πεποιηκὼς, ἐκεῖθέν τε καταβεβήκει, καί
in the reign having-made from-there both had-stepped-down and
τινα βραχὺν ἐπιβιώσας ἐν ἰδιώτου σχήματι χρόνον
some short having-survived in private-man's state time
μετήλλαξε τὴν ζωήν.
exchanged the life

Περὶ τῆς αὐτοκρατορίας τοῦ Κομνηνοῦ

XIV · THE REIGN OF KOMNENOS

Isaac takes up government at once, rewards and disbands his army, and awes the senate by his silence. Psellos traces how earlier emperors had bloated the state with gifts and ranks, and how Isaac, a surgeon in too great a hurry, cut everything at once, revoking grants and diverting monastic revenues, until the populace and many soldiers hated him. Barbarians east and west fear him. He banishes the patriarch Michael, who dies in exile, and mourns him.

44 Παραλαβὼν δὲ τὴν βασιλείαν ὁ Κομνηνὸς, ἀνὴρ ἐν πᾶσι
having-received and the empire — Komnenos man in all
δραστήριος, τῶν ὅλων εὐθὺς γίγνεται καὶ τῶν τῆς βασιλείας
active of-the whole at-once becomes and of-the of-the empire
πραγμάτων ἐξ αὐτῆς γραμμῆς ἄρχεται· ἑσπέρας γὰρ
affairs from very line begins in-(the)-evening for
εἰσεληλυθὼς εἰς τὰ βασίλεια, πρὶν ἢ τὸν ἐκ τῆς μάχης
having-entered into the palace before than the from the battle
κονιορτὸν ἀποσείσασθαι καὶ στολὴν μεταλλάξαι, καὶ ἐς
dust to-shake-off and dress to-change and for
αὔριον παραγγεῖλαι καθάρσια, καὶ ὥσπερ ἐκ πελάγους καὶ
morrow to-order purifications and as-if from sea and
χειμῶνος πολλοῦ ἀγαπητῶς ἅμα καὶ αἰσίως εἰς λιμένας
storm great gladly at-once and auspiciously into harbors
ἀπονηξάμενος, πρὸ τοῦ τὴν θαλαττίαν ἀποπτύσαι ἅλμην
having-swum before the the sea to-spit-out brine
καὶ τὸ πνεῦμα συλλέξασθαι, εὐθὺς καὶ τοῖς στρατιωτικοῖς
and the breath to-gather at-once both the military
καὶ τοῖς πολιτικοῖς διαιτᾷ πράγμασι, τό τε τῆς ἡμέρας ἔτι
and the civil arbitrates affairs the both of-the day still
ἐλλελοιπὸς καὶ πᾶσαν νύκτα ἐς φροντίδας καταναλώσας.
remaining and whole night on cares having-spent

Τοῦ οὖν στρατιωτικοῦ πλήθους τῇ πόλει συρρεύσαντος, 45
the then military multitude into-the city having-flowed-together
ὁπόσοι δὴ ἅμα τούτῳ τὸν περὶ ψυχῆς ἀνερρίψαντο
as-many-as indeed with him the about life had-thrown
κύβον καὶ συγκινδυνεύειν ἐθάρρησαν, δεδιὼς μή τι καὶ
die and to-share-danger dared fearing lest something even
παραβολώτερον ἐν τῇ πόλει τολμήσωσιν, ἢ τῷ δι' ἐκείνου
more-reckless in the city they-might-dare or by-the through him
θάρρει τὸ πολιτικὸν θορυβήσωσι πλῆθος, σπουδὴν ἔθετο
confidence the civil might-disturb multitude zeal be-set
πρώτην τὰ εἰκότα τε τούτους τιμῆσαι καὶ εἰς τὰς οἰκείας
first the fitting both them to-honor and to the own
ἀφεῖναι πατρίδας, πρὸς βραχύ τι ἀναπνεύσοντας καὶ
to-dismiss homelands for short somewhat going-to-rest and
αὖθις συλλεγησομένους κατὰ τῶν βαρβάρων τῷ βασιλεῖ
again going-to-be-gathered against the barbarians with-the emperor
συμπολεμήσοντας. Εἴκαστο μὲν οὖν ταῦτα ἐν μηνῶν
going-to-fight-alongside it-had-been-guessed indeed then these(-things) in of-months
περιόδοις γενήσεσθαι· ὁ δὲ οὐδ' ὅσον ὑπονοῆσαι διεῖλέ
cycles to-be-going-to-happen he but not-even as-much-as to-suspect divided
τε αὐτοὺς καὶ ὑπεξεῖλεν, ἑκάστῳ ἀπομνημονεύσας τῶν
both them and removed for-each having-recalled of-the
κατὰ πόλεμον πράξεων, καὶ τοὺς μὲν ἀπὸ τοῦ κατὰ χεῖρα
in war deeds and some indeed for the by hand
γενναίου, τοὺς δὲ ἀπὸ στρατηγικῆς τιμήσας συντάξεως,
valor others and for generalship having-honored arrangement
τοῖς δ' ἄλλο τι ἐπειπὼν ἀγαθὸν, καὶ πάντας ὁμοῦ
to-the(-ones) and other some having-said good and all together
τεθεραπευκὼς, καὶ τὰς καταλλήλους ἀντιδόσεις ἐπενεγκών.
having-tended and the fitting rewards having-bestowed

Εἴκασα τὸ πρᾶγμα ἐγὼ νέφεσι πολλοῖς αἰθερίοις, καὶ ἡλίῳ
I-likened the matter I to-clouds many aerial and to-sun
ἀθροώτερον λάμψαντι καὶ τὴν ἀχλὺν αὐτίκα σκεδάσαντι.
more-suddenly having-shone and the mist at-once having-scattered
46 Ἐπεὶ δὲ ἡ πόλις τῆς φορτικῆς ἐκείνων διαγωγῆς
when and the city from-the vulgar their behavior
ἠλευθέρωτο, τεθήπασι πάντες τὸν βασιλέα καὶ τὰ κρείττονα
had-been-freed marveled all at-the emperor and the better(-things)
ἐμαντεύσαντο· οἷς γὰρ γενήσεσθαι μὴ πιστεύοντες,
divined what for to-be-going-to-happen not believing
γεγενημένοις ἐνέτυχον τούτοις, καὶ ἅπερ οὐκ ἄν τις ἐλπίσειε
having-happened they-met these also what not — anyone would-hope
γενέσθαι ποτὲ προεώρων ὡς συμβησόμενα. Ἤλπιζον δὲ τὰ
to-happen ever foresaw as going-to-occur they-hoped and the
βελτίω, καὶ τῷ τοῦ ἀνδρὸς ἤθει, ᾧ δὴ ἐκ περιόδου
better(-things) also from-the of-the man character which indeed from interval
μέν τις ἐντυγχάνων, ὁπηνίκα ἐπὶ βήματος ἐκεῖνος καθῆστο
indeed anyone meeting when on dais he sat
ἢ πράγμασι διαιτήσων, ἢ χρηματιούμενος πρέσβεσιν,
either affairs going-to-judge or going-to-deal with-envoys
ἢ ἐπαπειλήσων βαρβάροις τὰ φρικωδέστατα, ἀποτόμῳ
or going-to-threaten barbarians the most-dreadful(-things) to-severe
τε καὶ σκληρῷ παρεγίγνετο, καὶ οὐδ' ἂν ᾠήθη
both and harsh he-came and not-even — he-would-have-thought
ποτὲ πρὸς τὸ μαλακώτερον μεταποιηθήσεσθαι· εἰ δὲ
ever to the softer to-be-going-to-change if but
καὶ οἰκουροῦντα τοῦτον ἢ ἀρχαιρεσιάζοντα ἴδοι, δυσὶ
also at-home him or appointing-officials he-saw in-two
παραδόξοις ἐπίστευε πράγμασιν· ὥσπερ ἂν εἴ τις
paradoxical believed things as — if anyone
τῆς τοιαύτης ἀκούῃ χορδῆς ἅπαξ ἐνταθείσης, νῦν μὲν
the such hears string once tightened now indeed

ἐναρμόνιον, νῦν δὲ σύντονον ἀναπεμπούσης ἠχώ· ἔμοιγ' οὖν
harmonious now but tense sending-up sound to-me then
ἀμφοτέρων τῶν καιρῶν συγκεχωρημένων, τῆς τε συντονίας
both the occasions having-been-granted of-the both tension
καὶ τῆς ἀνέσεως, διπλοῦς τις ὁ αὐτὸς κατεφαίνετο, καὶ
and of-the relaxation double somehow the same appeared and
οὔτ' ἂν ᾠήθην χαλασθέντα πλέον ταθήσεσθαι,
neither — I-would-have-thought loosened further to-be-going-to-be-tightened
οὔτε μὴν συντονώτερον ἐνταθέντα ἀναθήσεσθαι αὖθις
nor indeed more-tightly tightened to-be-going-to-be-relaxed again
καὶ τοῦ ὑψηλοῦ φρονήματος μεταβήσεσθαι· τοσοῦτον
and from-the lofty spirit to-be-going-to-pass so-much
ἐκεῖ μὲν χαρίεις καὶ ἐνδόσιμος ἦν, ἐνταῦθα δὲ, ἀλλὰ
there indeed gracious and yielding he-was here but but
καὶ τὸ πρόσωπον αὐτῷ μεθηρμόζετο καὶ οἱ ὀφθαλμοὶ
even the face his was-changed and the eyes
ἤστραπτον, καὶ ἡ ὀφρὺς, οἷα δή τι νέφος τῷ τῆς
flashed and the brow like indeed some cloud on-the of-the
ψυχῆς φωστῆρι, ἵν' οὕτως εἴπω, ἐπέκειτο.
soul luminary that thus I-may-say lay
Ἐπεὶ δὲ τὸ βῆμα καθειστήκει καὶ ἡ συγκλητικὴ τάξις 47
when and the dais had-been-set and the senatorial order
διέστησαν ἑκατέρωθεν, οὐδὲν εὐθὺς εἰρηκὼς, ἀλλὰ τὴν
stood-apart on-both-sides nothing at-once having-said but the
Ξενοκράτους ἰδέαν ἀκριβῶς μιμησάμενος καὶ τὴν ψυχὴν
of-Xenocrates manner exactly having-imitated and the soul
οἷον ἀνελίξας εἰς ἐνθυμήσεις, δέος οὔ τι βραχὺ
as-it-were having-unrolled into reflections dread not at-all small
τῷ συγκλητικῷ καταλόγῳ ἐπέσεισεν· οἱ μὲν γὰρ
on-the senatorial roll he-shook some indeed for
ἐπεπήγεισαν, καὶ ὥσπερ ἀστραπῇ βληθέντες ἐφ' οὗ
were-frozen and as-if by-lightning struck in which

ἐπλήγησαν εἱστήκεσαν σχήματος, ξηροὶ καὶ ἄνικμοι
they-were-struck stood posture dry and sapless
γεγονότες καὶ τὰς ψυχὰς ὥσπερ ἀποτεθειμένοι, οἱ δὲ,
having-become and the souls as-if having-laid-aside others and
ἄλλος ἄλλο τι ποιῶν ἠρέμα ἐδείκνυτο· ὁ μὲν
one another something doing quietly was-seen the(-one) indeed
γὰρ τὼ πόδε ἡσυχῇ συνεβίβαζεν, ὁ δὲ ἐπὶ πλέον
for the two-feet quietly brought-together the(-other) and for more
ταῖς χερσὶν ἐδέσμει τὸ στῆθος, καὶ ἄλλος πρὸς τοὔδαφος
with-the hands bound the chest and another to the-ground
ἔνευε, καὶ αὖθις ἕτερος, καὶ ἐφεξῆς ξύμπαντες φρικώδους
bowed and again another and in-turn all with-shuddering
ἐμπιπλάμενοι δείματος, τὰ σώματα ταῖς ψυχαῖς ἡσυχῇ
being-filled fear the bodies with-the souls quietly
καὶ κρύβδην συνέστελλον· ἐπεὶ δέ ποτε ἐκεῖνος τοῖς
and secretly drew-in when but ever he to-the(-business)
προκειμένοις ἐπανανεύσειε, βραχύ τι τὸ ἀναπνεῦσαν
at-hand turned slightly somewhat the breathing-again
ἦν, καὶ ἡ ἀλλοίωσις ἀριθμητικοῖς ἐγνωρίζετο λόγοις.
was and the change by-numerical was-recognized ratios
48 Καὶ γὰρ ἦν εἴ πέρ τις ἄλλος βραχυλογώτατος, οὔτε
and for he-was if indeed anyone else most-brief-of-speech neither
ἀθρόον ἐφιεὶς τῇ γλώττῃ, οὔτε ἐνδεῶς γνωρίζων τὰ τῆς
all-at-once letting-loose to-the tongue nor deficiently making-known the of-the
ψυχῆς ἐνθυμήματα, ἀλλ' ὥσπερ οἱ χαρακτηρίζοντες τὸν
soul thoughts but as the(-ones) characterizing —
Λυσίαν, φημὶ δὲ τὸν τοῦ Κεφάλου τὸν ῥήτορα, ἄλλην
Lysias I-mean and the(-son) — of-Cephalus the orator other
τε αὐτῷ ἀρετὴν λόγου προσμαρτυροῦσιν, εἶτα δὴ καὶ
both to-him excellence of-speech attest then indeed also
τὴν πρέπουσαν ἡνίαν τῇ ἐκείνου ἐπιβάλλουσιν εὐστομίᾳ,
the fitting rein on-the his put fluency

καί φασιν ὡς δυναμένῳ λέγειν, ἤρκει εἰρηκότι
and they-say that to-(one)-being-able to-speak it-sufficed to-(him)-having-said
τὰ καιριώτατα δι᾽ ὧν ἄν τις συλλογίσαιτο καὶ
the most-timely through which — one might-infer also
ὅσα μὴ φθέγξαιτο, οὕτω δὴ κἀκείνῳ ἡ γλῶττα
as-much-as not he-uttered thus indeed for-him-too the tongue
ψεκάζουσα, οὐχ ὑετίζουσα ἐπίαινέ τε τὴν δεκτικὴν φύσιν
drizzling not pouring warmed both the receptive nature
καὶ ἠρέμα τὸ βάθος εἰσδῦσα πρὸς τὴν τοῦ σιωπηθέντος
and gently the depth having-entered to the of-the unspoken
ἀνεκίνει ἐπίγνωσιν· ἐβούλετο γὰρ μηδενὶ ἁλωτὸς ἐν λόγοις
stirred recognition he-wished for by-no-one catchable in words
γενήσεσθαι, μηδὲ βασιλεὺς ὢν καὶ τοῖς ὅλοις κρατῶν
to-be nor emperor being and over-the whole ruling
ἄκαιρόν τινα φιλοτιμίαν ἐντεῦθεν ἑαυτῷ πλάσασθαι.
untimely some ambition from-this for-himself to-fashion
Ὅθεν τὸ μὲν φιλολογεῖν ἡμῖν ἀφῆκε τοῖς κάτω καὶ ὅσοις 49
whence the indeed to-love-letters to-us he-left the below and for-whom
ἰδιώτης ὁ βίος, ἐκείνῳ δὲ καὶ νεῦμα, καὶ χειρὸς κίνησις, καὶ
private the life for-him but even nod and of-hand motion and
κεφαλῆς ἐπὶ θάτερα κλίσις ἀποχρῶντα πάντα πρὸς ὃ
of-head to the-other(-side) inclination sufficient all for what
βούλοιτο ἐλογίζετο. Νόμους δὲ οὐ πάνυ τι ἐπιστάμενος,
he-wished were-reckoned laws and not very at-all knowing
τὴν νομοθετικὴν ἑαυτῷ ἐσχεδίαζεν· οὐ γὰρ προλαμβάνων
the legislative(-art) for-himself improvised not for anticipating
τὴν δίαιταν, ἀλλ᾽ ἐπιτάττων αὐτὴν τοῖς δικάζουσι τῆς
the judgment but assigning it to-the judges of-the
κρείττονος μερίδος ἐγίγνετο, εἶτα δὴ ὡς προειδὼς,
stronger side he-was then indeed as foreknowing
προΐστατό τε ταύτης καὶ τὰς ψήφους ἐπήνεγκεν· ἵνα δὲ μὴ
championed both it and the votes brought-in that and not

τὴν φωνὴν σολοικίσῃ τὰς νομικὰς φωνὰς ἐπισημαινόμενος,
the speech he-might-solecize the legal terms marking
τοῦτο μὲν ἑτέροις ἐπέτρεπεν, ἀεὶ δέ τι ἢ προσετίθει
this indeed to-others he-entrusted always and something either he-added
ὡς λεῖπον τοῖς γράμμασιν, ἢ ἀφῄρει ὡς περιττόν.
as lacking to-the writings or removed as superfluous
50 Πρεσβείαις δὲ χρηματίζων οὐ πάσαις μὲν ἴσος ἐγνώριστο,
with-embassies and dealing not to-all indeed equal he-was-known
ἀπὸ δὲ τοῦ κρείττονος πάσαις ὡμίλει σχήματος, καὶ
from but the higher with-all he-conversed posture and
μονονοὺ ἐνταῦθα τοῖς λόγοις πλημμυρῶν ἢ ὁ Νεῖλος
all-but here with-the words overflowing than the Nile
ἀναβαίνων τοῖς Αἰγυπτίοις, καὶ τοῖς Ἀσσυρίοις ὁ Εὐφράτης
rising for-the Egyptians and for-the Assyrians the Euphrates
ἐπικαχλάζων· καὶ τὴν μὲν εἰρήνην αἰτουμένοις ἐδίδου, τὸν δὲ
splashing and the indeed peace to-those-asking he-gave the but
πόλεμον ἠπείλει εἴ τί που παρανομῆσαι τολμήσαιεν· καὶ
war threatened if anything anywhere to-transgress they-should-dare and
ταῦτα μὲν πρὸς Πάρθους καὶ Αἰγυπτίους ἐφθέγγετο, τοῖς
these(-things) indeed to Parthians and Egyptians he-uttered to-the
δὲ λοιποῖς ἔθνεσι πόλεών τε ἐκείνῳ παραχωροῦσι πολλῶν
but remaining nations cities both to-him ceding many
καὶ στρατιωτικῶν τάξεων, αὐτῶν τε πατρίδων καὶ
and military ranks from-their-very and homelands and
αὐτίκα μετασκηνοῦν αἱρουμένοις, ταῦτά τε οὐ ξυνεχώρει
at-once to-migrate choosing these(-things) both not he-allowed
καὶ ἡσυχάζειν ἐπέταττεν, οὐ τῇ Ῥωμαίων βασκαίνων
and to-keep-quiet ordered not the of-(the)-Romans grudging
ἡγεμονίᾳ, τῶν ταύτης ὁρίων αὐξανομένων, ἀλλ᾽ εἰδὼς ὡς
dominion the its bounds being-increased but knowing that
δεῖ ταῖς τοιαύταις προσθήκαις καὶ χρημάτων πολλῶν
(there)-is-need for-the such additions both of-money much

καὶ γενναίας χειρὸς, καὶ ἀποχρώσης ὑποδοχῆς, καὶ τοῖς μὴ
and of-noble hand and of-sufficient reception and for-those not
οὕτως ἔχουσιν ἡ πρόσθεσις ὑφαίρεσις γίνεται. Τοῖς δέ γε
thus being the addition subtraction becomes to-the but at-least
πολλοῖς τῶν ἡγεμονίας ἐχόντων βαρβάρων, ὁπόσα αὐτὸς
many of-the dominion having barbarians as-much-as myself
ἐντυγχάνων ἀκήκοα, καὶ ἀνανδρίαν ἐπωνείδιζε καὶ ὡς ἀμελῶς
meeting I-have-heard both cowardice he-reproached and how carelessly
τῶν ἡγεμονιῶν ἔχοιντο κατητιᾶτο τούτους, ὤρθου τε αὐτοῖς
of-the dominions they-held-to he-accused them he-raised and their
καταπεπτωκυίας τὰς γνώμας· τοῦτο δὲ ἐποίει ἵν' ἐπιτείχισμα
fallen the spirits this but he-did that bulwark
ἔχοι πρὸς τὴν βασιλείαν τῶν κρειττόνων ἐθνῶν.
he-might-have for the empire against-the stronger nations
Ταῦτα δὲ αὔταρκες μὲν ἐκείνῳ ἐγκώμιον, εἰ δέ τις 51
these(-things) and sufficient indeed for-him encomium if but anyone
ἡγοῖτο καὶ πρὸς τὸ μέλλον διδασκαλία, ἀρέσκοι ἂν
should-consider also for the future lesson would-please —
ὁ πόνος τῷ ξυγγραφεῖ. Εἰ μὲν οὖν ὥσπερ ἐν τοῖς
the labor to-the writer if indeed then as in the
ἄλλοις ἠρέμα βαδίζων καὶ προχωρῶν ἐπὶ τὸ βέλτιον
other(-things) gently walking and advancing toward the better
τὸ κράτος ἀπηύθυνεν, οὕτω δὴ κἂν τοῖς πολιτικοῖς
the sovereignty he-had-steered thus indeed also in-the civil
πράγμασι πονήρως ἔχουσιν ἐποιεῖτο τὴν κάθαρσιν,
affairs badly being he-would-have-made the purge
λεπτύνων πρότερον τὴν παχυνθεῖσαν κακίαν καὶ οὕτως
thinning first the thickened evil and thus
ἐπάγων τὸ φάρμακον, αὐτός τε ἂν μέχρι παντὸς
applying the remedy himself both — until all(-time)
ἐγκωμίοις κατέστεπτο, καὶ τὸ πολιτικὸν οὐκ ἄν
with-praises would-have-been-crowned and the civil not —

διέσειστο σῶμα· ἀλλ' ἐκεῖνος μεταποιῆσαι πάντα
would-have-been-shaken body but he to-transform all
βουλόμενος, καὶ χρόνοις πολλοῖς τὴν Ῥωμαϊκὴν βασιλείαν
wishing and in-times many the Roman empire
ὑλομανήσασαν σπεύδων εὐθὺς ἐκτεμεῖν, ἢ καθαπερεὶ σῶμα
having-run-wild hastening at-once to-cut-out or just-as body
τερατείας πάσης μεστὸν, κεφαλαῖς μὲν διαμεμερισμένον
of-monstrosity every full with-heads indeed divided
πολλαῖς, δυστράχηλόν τε καὶ πολυτράχηλον, χερσί τε
many stiff-necked both and many-necked with-hands and
οὐκ εὐαριθμήτοις διαπεπλασμένον, καὶ ποσὶν ἰσαρίθμοις
not easily-counted formed and feet equal-in-number
χρώμενον, εἶτα δὴ καὶ τὰ ἔνδον ὕπουλον καὶ κακόηθες,
using then indeed also in-the inside festering and malignant
καὶ τὰ μὲν διεξῳδηκὸς, τὰ δὲ φθίνον, καὶ τοῦτο μὲν
and partly indeed swollen partly and wasting and this indeed
ὑδεριοῦν, τοῦτο δὲ φθινάδι νόσῳ διαρρυὲν, ἐπιχειρήσας
dropsical this but by-wasting disease dissolved having-attempted
ἀποτεμεῖν ἀθρόον, καὶ ὑπεξελεῖν μὲν τὰς περιττότητας,
to-cut-off at-once and to-remove indeed the excesses
ἐπαγαγεῖν δὲ τὰς ἰσότητας, καὶ τὰ μὲν καθελεῖν,
to-introduce but the balances and some(-things) indeed to-reduce
τὰ δ' ἐπαυξῆσαι, τά τε σπλάγχνα ἰάσασθαι, ἐμπνεῦσαί
others and to-increase the both innards to-heal to-breathe-in
τε τούτῳ πνεῦμα φυσίζωον, οὔτε πρὸς τέλος ἐξήρκεσε,
and into-it breath life-giving neither to end sufficed
καὶ οὐ πάνυ τι ἐντεῦθεν ἶσος ἑαυτῷ ἔδοξεν· ἵνα δὲ
and not very at-all from-this equal to-himself seemed that but
μὴ συγκεχυμένος ἡμῖν ὁ λόγος φανείη, ἐρῶμεν πρότερον
not confused our the account may-appear we-shall-say first
ὅπως ἡμῖν τὸ τῆς πολιτείας ἐπερίττευε σῶμα, εἶτα δὴ καὶ
how for-us the of-the state was-in-excess body then indeed also

ὅπως ἐκεῖνος ἐκτέμνειν ἐπικεχείρηκε, καὶ τρίτον ὡς ἐντεῦθεν
how he to-cut-out attempted and third how thence
ἐκείνῳ οὐ πάντα ἀπήντησε δεξιῶς, ἐφ᾽ οἷς ἐπενεγκὼν ὅπως
for-him not all turned-out favorably upon which having-added how
ἀποβεβήκει τῆς βασιλείας ὅρον τῇ ξυγγραφῇ θήσομαι.
he-departed from-the empire end to-the history I-shall-set
Μετὰ τὸν θάνατον Βασιλείου τοῦ πάνυ, λέγω δὲ τὸν 52
after the death of-Basil the eminent I-mean and the
τοῦ Ῥωμανοῦ παῖδα, ὃς δὴ ἐς τριγονίαν τὴν βασιλείαν
— of-Romanos son who indeed to third-generation the empire
ἀνέφερεν, ὁ τούτου μὲν νεώτερος παῖς, ἀδελφὸς δὲ ἐκείνου,
traced the his indeed younger son brother but of-him
τὴν βασιλείαν παραλαβὼν πολλῶν χρημάτων ἀνάπλεω, ὁ
the empire having-received of-much money full the
γάρ τοι ἀδελφὸς Βασίλειος μακροὺς ἐπιβιώσας χρόνους
for surely brother Basil long having-lived times
τῷ κράτει καὶ ὅσους οὐκ ἄλλος τῶν αὐτοκρατόρων,
in-the sovereignty and as-many-as not another of-the autocrats
ἐθνῶν τε πολλῶν ἐγκρατὴς γεγονὼς καὶ τὸν ἐκεῖθεν
nations both many master having-become and the from-there
πλοῦτον εἰς τὰ βασίλεια εἰσενεγκών, πολυπλασίους τε τὰς
wealth into the palace having-brought many-times and the
ἐπιγινομένας εἰσόδους τῶν ἀπογιγνομένων πεποιηκὼς,
accruing revenues than-the outgoings having-made
τῶν ἐντεῦθεν ἀπιὼν θησαυροὺς ἀμυθήτους χρημάτων
from-the here(-things) departing treasures untold of-money
καταλελοίπει τῷ ἀδελφῷ Κωνσταντίνῳ· οὗτος δὲ εἰς
had-left to-the brother Constantine he but into
βαθὺ γῆρας τὴν αὐτοκράτορα ἡγεμονίαν ἀναζωσάμενος,
deep old-age the autocratic dominion having-girded-on
ἐκ πολλοῦ τε ταύτης ἐρῶν, οὔτε στρατεύειν ἐπικεχείρηκε
from long and it loving neither to-campaign attempted

καὶ τοῖς εὑρημένοις προστίθεσθαι, οὔτε τὰ ὄντα
and to-the found(-things) to-add nor the existing(-things)
διαφυλάττειν διανενόητο· ἐπὶ δὲ τὸν ἀπολαυστικὸν
to-preserve intended to but the self-indulgent
ὡρμηκὼς βίον, σπαθᾷν πάντα καὶ ἀναλίσκειν διέγνωκε,
having-rushed life to-squander all and to-spend resolved
καὶ εἰ μὴ ταχὺ τοῦτον ὑπεξεῖλεν ὁ θάνατος, ἤρκεσεν
and if not quickly him had-removed the death would-have-sufficed
ἂν ἀντὶ πάντων εἰς τὴν τοῦ κράτους διαφθοράν.
— instead-of all for the of-the sovereignty ruin

53 Οὗτος μὲν δὴ πρώτως τὸ σῶμα τῆς πολιτείας κακοῦν
he indeed truly first the body of-the state to-harm
τε καὶ ἐξογκοῦν ἤρξατο, τὰ μὲν ἐνίους τῶν ὑπηκόων
both and to-bloat began partly indeed some of-the subjects
χρήμασι καταπιάνας πολλοῖς, τὰ δὲ ἀξιώμασι διογκώσας,
with-money having-fattened much partly and with-dignities having-puffed-up
καὶ ὕπουλον αὐτοῖς καὶ διεφθαρμένην τὴν ζωὴν καταστήσας·
and festering for-them and corrupted the life having-made
ἐπεὶ δὲ οὗτος ἐτεθνήκει, καὶ ὁ ἐκείνου κηδεστὴς Ῥωμανὸς
when but he had-died and the his son-in-law Romanos
τὴν ἀρχὴν διεδέξατο, ἆρξαι νομίσας οὗτος, τῆς ἐν
the rule succeeded to-begin thinking he of-the in
πορφύρᾳ γέννας ἤδη ἀποτελευτησάσης, θεμελίους ὥσπερ
purple birth already having-come-to-an-end foundations as-it-were
καλοὺς τῆς τοιαύτης γενέσεως ᾤετο καταβάλλεσθαι,
fine of-the such dynasty he-thought to-lay
καὶ ἵνα δὴ καὶ τὸ πολιτικὸν γένος καὶ ἡ στρατιωτικὴ
and that indeed both the civil class and the military
πληθὺς τὰς ἐγγενεῖς διαδοχὰς ἑτοίμως τε καὶ ἱλαρῶς
multitude the hereditary successions readily both and cheerfully
ὑποδέξαιντο, προλαμβάνει τὰς εἰς αὐτοὺς μεγαλοδωρεάς,
might-accept he-anticipates the to them great-gifts

καὶ προστίθησι τῷ περιττεύσαντι σώματι, καὶ αὐξάνει
and adds to-the overflowing body and increases
τὴν νόσον, καὶ τὸ διαφθειρόμενον καταπληροῖ ἐκκεχυμένης
the disease and the being-corrupted(-part) fills of-diffused
ποιότητος, καὶ διαμαρτάνει δυοῖν, τῆς τε περὶ τὸ γένος
quality and misses two(-things) the both about the family
ὑπολήψεως καὶ τοῦ τὴν πολιτείαν τεταγμένην ἀπολιπεῖν.
expectation and the the state ordered to-leave
Ἐπεὶ δὲ τούτου τὴν ζωὴν τελευτήσαντος εἰς τὸν Μιχαὴλ 54
when and he the life having-ended to — Michael
ἡ τῆς βασιλείας μετῆλθε διαδοχὴ, τὸ μὲν πολὺ τῶν
the of-the empire passed succession the indeed most of-the
νοσοποιῶν ὁ ἀνὴρ οὗτος ἐπέσχεν, οὐ μέντοι γε
disease-causing(-things) the man this checked not however at-least
τοσοῦτον ἐξίσχυσεν ὥστε τολμῆσαι μηδὲ τὸ βραχύτατον
so-much he-prevailed so-as to-dare not-even the least
ἐκλιπᾶναι τὸ εἰωθὸς σῶμα χυμοῖς ἐκτρέφεσθαι πονηροῖς καὶ
to-starve the accustomed body with-humors to-be-fed bad and
διεφθαρμέναις ἐξογκοῦσθαι τροφαῖς, ἀλλὰ καὶ οὗτος, εἰ καὶ
with-corrupted to-be-bloated foods but also he if even
γλίσχρως, προσέθετο γοῦν τῇ ποιότητι· καὶ γὰρ οὗτος
sparingly added at-any-rate to-the humor and for he
θνήσκει αὐτίκα, μηδὲ κατὰ βραχὺ τοὺς προηγησαμένους
dies at-once not-even in little the preceding
μιμησάμενος αὐτοκράτορας· ἀλλ᾽ εἰ μὲν διεβίω πλείω οὗτος
having-imitated autocrats but if indeed had-lived more he
ἔτη τῷ κράτει, ἐμεμαθήκεσαν ἄν ποτε τὸ ὑπήκοον τὴν
years in-the sovereignty would-have-learned — at-some-point the subjects the
φιλόσοφον δίαιταν, οὐκ ἦν δὲ ἄρα μὴ διαρραγήσεσθαί
philosophic regimen not was(-possible) but after-all not to-be-going-to-burst
ποτε τούτους εἰς ἄκρον εὐεξίας ἐκπιανθέντας.
ever them to peak of-health fattened

55 Ταχὺ τοιγαροῦν καὶ τούτου δὴ τοῦ βασιλέως
quickly accordingly also this indeed the emperor
ἀποβεβιωκότος, ἵνα δὴ τὸν ἀνεψιὸν παραλίπω, ὡς
having-died that indeed the nephew I-may-pass-over as
ἀθλίως μὲν βεβασιλευκότα, ἀθλιώτερον δὲ τοῦ κράτους
wretchedly indeed having-reigned more-wretchedly but from-the sovereignty
ἀποβεβηκότα, Κωνσταντῖνος ὁ Εὐεργέτης, (οὕτω γὰρ παρὰ
having-fallen Constantine the Benefactor thus for among
τοῖς πλείοσι κατωνόμασται), φημὶ δὲ τὸν Μονομάχον,
the most he-has-been-named I-mean and — Monomachos
εἰς τὴν τοῦ κράτους περιωπὴν ἄνεισιν· ὃς δὴ ὥσπερ
to the of-the sovereignty eminence rises who indeed like
τινὰ φορτίδα ναῦν τὴν πολιτείαν καταλαβὼν ἄχρι τοῦ
some cargo ship the state having-found to the
τελευταίου ζωστῆρος τὸν φόρτον ἔχουσαν, ὡς βραχύ
last wale the cargo having so-as little
τι ὑπερκεῖσθαι τῆς τῶν κυμάτων ἐπιρροῆς, περιχειλῆ
somewhat to-lie-above the of-the waves inflow overbrimming
πεποιηκὼς κατεβάπτισεν, ἢ ἵνα δὴ ἐναργέστερον εἴπω
having-made sank or that indeed more-clearly I-may-say
ὁμοῦ δὲ καὶ πρὸς τὴν προτέραν ἐπανέλθω τροπὴν,
at-the-same-time and also to the earlier I-may-return figure
πλεῖστα περιθεὶς μέρη καὶ μέλη τῷ πάλαι διαφθαρέντι
very-many having-added parts and limbs to-the long-ago corrupted
σώματι, καὶ χυμοὺς πονηροτέρους τοῖς σπλάγχνοις
body and humors worse into-the innards
εἰσενεγκὼν, τοῦ μὲν κατὰ φύσιν ἀπήνεγκε, καὶ τῆς
having-introduced from-the indeed according-to nature he-carried-away and from-the
ἡμέρου καὶ πολιτικῆς ζωῆς ἀπεστέρησεν, ἐξέμηνε δὲ μικροῦ
gentle and civil life deprived(-it) drove-mad and by-little
δεῖν καὶ ἀπεθηρίωσε, πολυκεφάλους καὶ ἑκατόγχειρας τοὺς
to-lack and made-bestial many-headed and hundred-handed the

πλείους τῶν ὑπὸ χεῖρα πεποιηκώς. Μεθ' ὃν ἡ βασιλὶς
most of-the under hand having-made after whom the empress
Θεοδώρα γνησιώτερον αὐταρχήσασα, ἔδοξε μὲν μὴ πάνυ
Theodora more-legitimately having-ruled-alone seemed indeed not very
τι ἀποθηριῶσαι τὸ καινὸν τουτὶ ζῷον, ἀλλ' οὖν καὶ αὐτὴ
at-all to-make-bestial the new this creature but then also she
λεληθότως καὶ χεῖράς τινας καὶ πόδας τούτῳ προσέθετο.
covertly both hands some and feet to-it added
Καταλυθείσης δὲ καὶ τῆς περὶ ταύτην σκηνῆς, ἐπειδὴ τῷ 56
having-been-dissolved and also the about her scene when to-the
Πρεσβύτῃ Μιχαὴλ ἡ τῆς βασιλείας ἐνεχειρίσθη ἡνία, οὐκ
Old Michael the of-the empire was-entrusted rein not
ἐνεγκὼν οὗτος τὴν ξυγκίνησιν τοῦ βασιλικοῦ ἅρματος, τῶν
having-borne he the commotion of-the imperial chariot the
ἵππων εὐθὺς τοῦτον ὑφαρπασάντων, τό τε θέατρον διέθηκεν
horses at-once him having-snatched-away the both theater arranged
ἀτακτότερον, καὶ αὐτὸς ὑπερεκπλαγεὶς τὸν θόρυβον, τῆς
more-disorderly and himself overawed-by the din from-the
ἱππικῆς ἀποβεβηκὼς τάξεως ἔστη μετὰ τῶν ψιλῶν·
mounted having-dismounted rank stood with the light-armed
δέον γὰρ ἀντέχειν καὶ μὴ πάνυ τι ἀφεῖναι τὸν
it-being-needful for to-hold-out and not very at-all to-let-go the
χαλινὸν, τῷ δ' ὥσπερ ἀποζωννυμένῳ ἐῴκει τὸ
rein to-the(-one) and as-if ungirding he-was-like the
κράτος καὶ εἰς τὴν προτέραν παλινδρομοῦντι ζωήν.
sovereignty and to the former running-back life
Ὁ μὲν οὖν πρῶτος καιρὸς οὗτος, ὃς δὴ θῆρας 57
the indeed then first period this which indeed beasts
τοὺς πλείους ἀντ' ἀνθρώπων πεποιηκὼς καὶ τοσοῦτον
the most instead-of men having-made and so-much
ὑπερπιάνας, ὡς δεῖσθαι φαρμάκων καθαρσίων πολλῶν,
having-overfattened as to-need of-remedies purging many

τὴν ἑτέραν ἐζήτει διαδοχὴν, φημὶ δὴ τὴν τῆς τομῆς
the other sought succession I-mean indeed the(-one) of-the cutting
καὶ τοῦ καυτῆρος καὶ τῆς καθάρσεως· ἐπανεληλύθει
and of-the cautery and of-the purge had-come-round
τοιγαροῦν καὶ οὗτος, καὶ ὁ Κομνηνὸς Ἰσαάκιος ἐπὶ τὸν
accordingly also this and — Komnenos Isaac to the
Ῥωμαϊκὸν ἄνεισι μετὰ τοῦ διαδήματος ἄξονα, καὶ ἵνα
Roman rises with the diadem axis and that
δὴ καὶ τοῦτον τῇ διὰ τῶν ἀλληγοριῶν ἐναργείᾳ
indeed also him by-the through the allegories vividness
κατανοήσωμεν, νῦν μὲν εἰς ἡνίοχον θείημεν, νῦν δὲ
we-may-understand now indeed as charioteer let-us-set now but
τοῖς Ἀσκληπιάδαις καταριθμήσωμεν.
among-the Asclepiads let-us-count

58 Ἦν δὲ οὗτος βίου μὲν ἐραστὴς φιλοσόφου, καὶ τὸ νοσοῦν
was and he of-life indeed lover philosophic and the ailing
ἅπαν καὶ διεφθαρμένον ἀποστρεφόμενος τῆς ζωῆς, τοῖς
all and corrupted turning-from of-the life the
ἐναντίοις δὲ περιτυχὼν, καὶ νοσοῦντα πάντα καὶ ὕπουλα
opposites but having-met and ailing all-things and festering
εὑρηκὼς, τούς τε βασιλείους ἵππους τῆς ἀφετηρίας
having-found the and imperial horses from-the starting-gate
ταχὺ διεκθέοντας καὶ πάντη ἑτερογνάθους καὶ δυσηνίους,
quickly running-out and wholly hard-mouthed and unruly
δέον ἐκείνως μὲν τὸν καιρὸν ἀναμεῖναι καὶ τῆς
it-being-needful in-that-way indeed the time to-await both of-the
τομῆς καὶ τῆς καύσεως καὶ μὴ εὐθὺς πεπυρακτωμένον
cutting and of-the burning and not at-once red-hot
τὸν σίδηρον ἐπιθεῖναι τοῖς σπλάγχνοις, οὕτως δὲ ἠρέμα
the iron to-apply to-the innards thus and gently
χαλινῷ καταρτύσαι τὸ ὄχημα καὶ μεταθεῖναι τοὺς ἵππους,
with-bit to-fit the team and to-change the horses

παραψαῦσαί τε τεχνικῶς καὶ περιποππύσαι, καὶ οὕτως
to-stroke both skillfully and to-soothe-by-clucking and thus
ἐπιβῆναι καὶ τῇ ἡνίᾳ ἐφεῖναι, ὥσπερ δὴ ὁ
to-mount and to-the rein to-give(-them) as indeed the(-son)
τοῦ Φιλίππου εὐήνιον τὸν Βουκέφαλον πεποίηκεν, ὁ δὲ
— of-Philip tractable — Bucephalus made he but
βουλόμενος ἀθρόον εὐθυφορούμενον μὲν ἰδεῖν τὸ πρότερον,
wishing all-at-once running-straight indeed to-see the former(-team)
εἴς τε τὴν φυσικὴν ζωὴν τὸ παρὰ φύσιν γεγενημένον σῶμα
into and the natural life the against nature having-become body
μετενεχθῆναι, καὶ τοῦτο μὲν καίων καὶ τέμνων, τοὺς δέ
to-be-transferred and this indeed burning and cutting the but
γε ἀτάκτως θέοντας ἵππους πολλοῖς χαλινοῖς ἀνείργων
at-least disorderly running horses with-many bits restraining
καὶ ἀνασειράζων, ἔλαθέ πως διαφθαρεὶς πρότερον ἢ
and reining-back escaped-notice somehow ruined before than
ἐκεῖνα τάξας καὶ καταστήσας. Τῆς μὲν οὖν ἐγχειρίσεως
those having-ordered and having-settled for-the indeed then undertaking
οὐ διαβάλλω τὸν ἄνδρα, ἐπεγκαλῶ δὲ τούτῳ τὸν καιρὸν
not I-fault the man I-blame but him-for the timing
τῆς διαμαρτίας· ἀλλ' ὁ μὲν τρίτος ἡμᾶς ἀναμεινάτω
of-the error but the indeed third us let-await
καιρὸς, τῷ δὲ δευτέρῳ πλατύτερον ἐμφιλοχωρήσωμεν.
period on-the but second more-broadly let-us-linger
Τῶν γὰρ ἄνω βασιλέων, ὥς μοι πολλάκις εἴρηται, 59
the for earlier emperors as by-me often has-been-said
τοὺς βασιλικοὺς θησαυροὺς εἰς τὰς οἰκείας ἀπαντλούντων
the imperial treasures on the own draining
ἐπιθυμίας, ταῖς τε δημοσίοις συνεισφοραῖς οὐκ εἰς
desires the and public contributions not for
στρατιωτικὰς συντάξεις ἀποχρωμένων, ἀλλ' εἰς πολιτικὰς
military establishments using but for civil

χάριτας καὶ λαμπρότητας, τέλος δὲ καὶ ὅπως ἂν αὐτοῖς
favors and splendors finally and also how — their
τὸ σῶμα τελευτήσασι λαμπρότερον ἐκκομισθείη καὶ
the body having-died more-splendidly might-be-borne-out and
κατατεθείη πολυτελέστερον, μνήματα κατασκευασάντων
laid-down more-lavishly tombs having-built
Φρυγίου λίθου ἢ Ἰταλοῦ, ἢ Προικονησίας πλακὸς, ἐφ' οἷς
of-Phrygian stone or Italian or of-Proconnesian slab around which
ταῦτα περιῳκοδομηκότων καὶ ναοῖς τιμησάντων, ἄλση
these(-things) having-built-around and with-churches having-honored groves
τε καταφυτευσάντων, παραδείσοις τε καὶ λειμῶσι πέριξ
and having-planted with-parks both and meadows round-about
περιεστεφανωκότων τοὺς ὅρους, εἶτα δὴ δεῆσαν αὐτοῖς
having-encircled the bounds then indeed it-being-necessary for-them
χρήμασί τε καὶ κτήμασι κατευδαιμονίσαι τὰ ἀσκητήρια
with-money both and estates to-enrich the ascetic-houses
(τοῦτο γὰρ δὴ τὸ ὄνομα ταῖς οἰκοδομαῖς ἐσχεδίαζον),
this for indeed the name for-the buildings they-improvised
τὰ μὲν τὰ τῶν ἀνακτόρων ἀποκενούντων ταμεῖα, τὰ δὲ
partly indeed the of-the palace emptying treasuries partly but
τὰς δημοσίους ἀκρωτηριαζόντων τῶν κοινῶν συνεισφορῶν
the public mutilating of-the common contributions
ἀφορμὰς, καὶ οὐ τὴν ἀποχρῶσαν μόνον συντέλειαν τοῖς
resources and not the sufficient only endowment to-the
ἀσκητηρίοις (λεγέσθω γὰρ οὕτως) ἀποταξάντων, ἀλλὰ
ascetic-houses let-it-be-called for thus having-assigned but
καταδιελόντων τὸν βασίλειον πλοῦτον, τὸν μὲν εἰς
having-parceled-out the imperial wealth the(-part) indeed for
ἀπολαυστικὸν βίον, τὸν δὲ εἰς λαμπρότητας καινοτέρων
self-indulgent life the(-part) but for splendors of-newer
οἰκοδομῶν, τὸν δὲ ὅπως ἂν οἱ μὲν ἀργοὶ τὰς φύσεις
buildings the(-part) but how — the(-ones) indeed idle in-the natures

καὶ πρὸς τὸν συντελείας κόσμον ἀσυντελεῖς τρυφῷεν
and for the of-contribution order contributing-nothing might-luxuriate
καὶ τὸ τῆς ἀρετῆς ἀτιμάζοιεν πρᾶγμα καὶ ὄνομα, ὁ δὲ
and the of-the virtue might-dishonor thing and name the but
στρατιωτικὸς σύλλογος ἐκκενοῖτο καὶ διαφθείροιτο, ὁ
military body might-be-emptied and ruined the
βασιλεὺς οὗτος, ἅτε δὴ τῶν Στρατιωτικῶν καταλόγων
emperor this as indeed of-the Military rolls
τὰ πρῶτα τυγχάνων, ἐκ πολλῶν προειδὼς ὅθεν ἡ τῶν
the first being from many(-signs) foreseeing whence the of-the
Ῥωμαίων ἡγεμονία καταπεφρόνηται, καὶ τὰ μὲν
Romans dominion has-been-despised and some(-things) indeed
τῶν ἐθνῶν ηὔξηται, τὰ δὲ πάντα ὑπέρρευσε, καὶ οὐδεὶς
of-the nations have-grown others but all overflowed and no-one
τῶν πάντων ἀνείργειν δεδύνηται βαρβάρων ἐπιδρομὰς καὶ
of-the all to-check has-been-able of-barbarians inroads and
λῃστείας, ἐπειδὴ οἱ ἡ παρὰ τῆς βασιλείας προσεγένετο
raids when to-him the from the empire came
δύναμις, τὰς ἀφορμὰς εὐθὺς ἀπορριζοῖ τῶν κακῶν. Καὶ
power the causes at-once uproots of-the evils and
τοῦτο μὲν ἄξιον βασιλείου φρονήματος, τὸ δ' ἀθρόως
this indeed worthy of-imperial spirit the but all-at-once
πάντα συνελεῖν ἐπικεχειρηκέναι, οὐ πάνυ τι ἐν ταῖς
all to-seize to-have-attempted not very at-all among the
ἐπαινουμέναις τίθεμαι πράξεσιν· ὃ δ' οὖν ἐκεῖνος
praised I-place deeds what but then he
ἐπεπράχει ὁ λόγος ἱστορησάτω.
had-done the account let-record
Πρῶτα μὲν γὰρ ἑαυτῷ τὴν βασιλείαν ἁρμόσας, ἀφοῦ δὴ 60
first indeed for to-himself the empire having-fitted after indeed
περιεστεφάνωτο, καὶ οὕτως τὴν τυραννίδα μετονομάσας,
he-had-been-crowned and thus the tyranny having-renamed

τὴν ἐντεῦθεν τοῦ Πρεσβύτου Μιχαὴλ πρᾶξιν ἠθέτηκεν,
the thence of-the Old Michael deed he-annulled
ἀφείλετό τε ἅπερ ἐκεῖνος δεδώρητο, καὶ καθεῖλεν εἴ τι
took-away and what he had-given and demolished if anything
φιλότιμον κατεπράξατο· ἔπειθ' οὕτω κατὰ βραχὺ ἀνιὼν,
generous he-had-done then thus by little going-up
ὑπεράλλεται καὶ τουτονὶ τὸν καιρὸν, καὶ πολλὰ μὲν αὐτῷ
he-leaps-over also this the period and many indeed of-it
κἀνταῦθα συντρίβει καὶ καθαιρεῖ, οὐκ ὀλίγα δὲ παντάπασιν
there-too crushes and demolishes not few and altogether
ἀναιρεῖ· ἐντεῦθεν τό τε δημοτικὸν πλῆθος ἀπεχθάνεται
abolishes hence the both popular multitude hates
αὐτῷ, καὶ τῶν Στρατιωτῶν οὐκ ὀλίγον τι μέρος, ὅσοις
him and of-the Soldiers not small some part whose
τὰς εὐπορίας ἐξέκοψεν. Ἐπεὶ δὲ ταῦτα ἐπεποιήκει, οὐδὲ
the means he-cut-off when and these(-things) he-had-done not-even
βραχύ τι ἀνανεύσας τῶν ἐνθυμημάτων, ὥσπερ οἱ
slightly at-all having-drawn-back from-the designs as the(-ones)
ἀπὸ τῶν συνθέτων ἐπὶ τὰ ἁπλᾶ ἀναλύοντες, ἐπὶ τὰ
from the compound to the simple resolving to the
πορρωτέρω χωρεῖ, ἐπισυνάπτων ἀλλήλοις τῶν βασιλείων
farther(-things) he-proceeds joining to-one-another of-the reigns
τὰ πέρατα, καὶ οὕτω κατὰ τὸ συνεχὲς ἐπιὼν πάντα καὶ
the ends and thus in the sequence going-over all and
λυμαινόμενος. Οὕτω τοιγαροῦν ἀνιὼν καὶ τοὺς πυρφόρους
damaging thus accordingly going-up also the fire-bearers
τοῖς ἀνῃρημένοις προστίθησι· περικρούεται γὰρ τὰ πλείω
to-the abolished(-things) adds he-strips-off for the most
τῶν ἀποτεταγμένων τοῖς ἐκείνων ναοῖς, καὶ ταῦτα
of-the(-things) assigned to-the their churches and these(-things)
εἰς τὴν δημοσίαν θεὶς σύνταξιν, ἐκείνοις τὸ ἀποχρῶν
into the public having-put establishment for-them the sufficient

συλλογίζεται, ἐπαληθεύσας αὐτοῖς τοῦ ἀσκητηρίου τὸ
reckons having-made-true for-them of-the ascetic-house the
ὄνομα· ἐπεποιήκει δὲ τοῦτο, ὥσπερ ἂν εἴ τις ψάμμον τινὰ
name he-had-done and this as — if one sand some
ὑφέλοι ἐκ θαλαττίας θινὸς, ἐπεκεχείρηκε γὰρ, καὶ
should-take-away from sea's beach he-has-attempted for and
ἀψοφητὶ τὸ πᾶν ἐγεγόνει, οὐδένα γὰρ τῶν πάντων ἀνθρώπων
noiselessly the whole had-happened no-one for of-the all men
τεθέαμαι οὔτε τηλικαύταις ἐπιβολαῖς λογισμοῦ χρώμενον,
I-have-seen either such-great designs of-reason using
οὔτε ἠρέμα τὰς τοιαύτας ἐνθυμίσεις καταπραττόμενον.
or quietly the such schemes carrying-out
Τοῦτο μὲν οὖν τηνικαῦτα ἐξέπληξε τοὺς πολλοὺς, εἶτα 61
this indeed then at-that-time astounded the many then
δὴ ὡμαλίζετο ταῖς τῶν πλειόνων ψυχαῖς· ἀπολογία γὰρ
indeed was-smoothed in-the of-the most souls defense for
αὐτάρκης τοῖς διαβάλλειν ἐθέλουσι τὴν πρᾶξιν ὁ
sufficient against-the(-ones) to-slander wishing the deed the
δημόσιος καθειστήκει· καὶ ἔδοξεν ἂν τὸ πρᾶγμα
public(-fisc) stood and would-have-seemed — the matter
θαυμάσιον, εἰ ὥσπερ ἐκ πελάγους ἀνανήξας βραχύ
wonderful if as-if from sea having-swum-up little
τι ἀνέπνευσεν· ἀλλ᾽ οὗτος οὐκ εἰδὼς προσορμίζεσθαι,
somewhat he-had-breathed but he not knowing to-anchor
οὐδὲ μικρόν τι ἐλλιμενίζειν, ἕτερον αὖθις ἐθάρρησε
nor little somewhat to-stay-in-harbor another again dared
πέλαγος, καὶ πάλιν ἄλλο, καὶ μετὰ τοῦτο μεῖζον καὶ
sea and again another and after this greater and
φρικωδέστατον, ὥσπερ οὐ πολιτικὰς πράξεις διακυμαίνων,
most-dreadful as-if not civil affairs agitating
ἀλλὰ τὴν Αὐγέου κόπρον ἀνακαθαίρων.
but the of-Augeas dung clearing-out

62 Ὃ γοῦν πολλάκις εἰρήκειν, εἰ ταῖς πράξεσιν ὁ βασιλεὺς
what at-any-rate often I-had-said if for-the deeds the emperor
οὗτος καιροὺς ἀφωρίζετο, καὶ τὸ μέν τοι καθῄρει,
this times had-set and the(-one) indeed surely demolished
τὸ δὲ τέως ξυνεχώρει ἵστασθαι, καὶ αὖθις τοῦτο
the(-other) but meanwhile allowed to-stand and again this
διῄρει, καὶ μετὰ τὴν τομὴν ἀναπνέων ἑτέρῳ πάλιν ἐπεχείρει,
divided and after the cut breathing another again attempted
καὶ οὕτω λανθάνων τοῦ κακοῦ τὴν ἀναίρεσιν προείη
and thus unnoticed of-the ill the removal might-proceed
κατὰ βραχύ, ὥσπερ δὴ καὶ ὁ παρὰ Πλάτωνι δημιουργὸς,
by little as indeed also the in Plato craftsman
παραλαβὼν καὶ οὗτος τὸν τῆς πολιτείας κόσμον πλημμελῶς
having-received also he the of-the state order discordantly
καὶ ἀτάκτως κινούμενον εἰς τάξιν τε ἂν ἐκ τῆς ἀταξίας
and disorderly moving into order both — from the disorder
μετήγαγεν καὶ κόσμον ὡς ἀληθῶς τοῖς πράγμασιν
would-have-brought and order as truly into-the affairs
εἰσεποίησεν· ἀλλ᾽ ὁ μὲν θεὸς τῷ δημαγωγῷ Μωϋσῇ
introduced but — indeed God by-the leader-of-the-people Moses
εἰσῆκται ἐν ἓξ ἡμέραις τὸν κόσμον δημιουργῶν, ἐκεῖνος δὲ
is-introduced in six days the world creating he but
εἰ μὴ αὐθημερὸν πάντα ποιήσειεν, οὐκ ἀνεκτὸν ἐλογίζετο·
if not on-the-same-day all he-should-make not bearable reckoned
τοσοῦτον αὐτῷ τὸ περιὸν ἦν τῆς ἐφ᾽ ὅ τι προθυμηθείη
so-great in-him the surplus was of-the to what — he-was-eager
ὁρμῆς, καὶ οὐδὲν αὐτὸν τῶν πάντων ἐπεῖχεν, οὐ λόγος
impulse and nothing him of-the all checked not reason
εἰσηγούμενος τὰ βελτίω, οὐχ ὁ περὶ τοῦ μέλλοντος φόβος,
introducing the better(-things) not the about the future fear
οὐ τὸ παρὰ τῶν πολλῶν μῖσος, οὐκ ἄλλο τι τῶν
not the from the many hatred not other any of-the(-things)

εἰωθότων καταστέλλειν οἰδοῦσαν ψυχὴν καὶ ἐπηρμένον
wont to-calm swelling soul and elated
φρόνημα καθελεῖν· εἰ γάρ τις αὐτὸν οὐκ ἤρτυε χαλινὸς,
spirit to-bring-down if for some him not had-fitted bit
πᾶσαν μὲν ἐκ περιόδου τὴν οἰκουμένην διέδραμε,
all indeed in circuit the inhabited-world he-would-have-run-through
πάσαις δὲ νίκαις κατέστεπτο, καὶ οὐδεὶς ἂν αὐτῷ τῶν
with-all and victories would-have-been-crowned and no-one — with-him of-the
ἀνέκαθεν αὐτοκρατόρων ἀντείρισεν· ἀλλὰ τὸ ἄφετον, ἀλλὰ
from-of-old autocrats would-have-vied but the unbridled but
τὸ ἐλεύθερον, ἀλλὰ τὸ τοῦ ἐπιστατοῦντος ἀπαράδεκτον
the free but the of-the governing not-admitting
λογισμοῦ, τὸ γενναῖον ἐκείνου διέφθειρε φρόνημα.
reason the noble his ruined spirit
Τὰς μὲν οὖν πολιτικὰς πράξεις οὑτωσί πως διεκύμαινε 63
the indeed then civil affairs thus somehow he-agitated
καὶ ἐτάραττεν· ἐβούλετο δὲ καὶ τοὺς ἑῴους καὶ ἑσπερίους
and troubled wished and also the eastern and western
βαρβάρους κατὰ ταὐτὸ συνελθεῖν· οἱ δ' ἄρα καὶ
barbarians at the-same(-time) to-meet they but after-all both
ἐπεφρίκεισαν, καὶ τὴν πρώτην νεωτερίσαντες, ἐπειδὴ τὴν
had-shuddered and at-the first having-made-trouble when the
τοῦ ἀνδρὸς γνώμην ἐμεμαθήκεσαν, τάς τε ἐφόδους ἀνέλυον,
of-the man purpose they-had-learned the both attacks broke-off
καὶ τειχίον ἐζήτουν ὑφ' ὃ κρυβήσονται· ὅ δέ γε
and little-wall sought under which they-will-hide the but at-least
Πάρθος σουλτᾶν, ὃς δὴ κινῆσαι πάντα τετόλμηκε, μικροῦ
Parthian sultan who indeed to-move all has-dared by-little
δεῖν τοῖς ἀναποδισμοῖς χρώμενος καὶ μηδαμοῦ στηρίζων,
to-lack the retreats using and nowhere halting
μηδέ τινα ἐπέχων σταθμὸν, ὕπαυγός τε τὸ παραδοξότατον
nor any holding stage dim and the most-paradoxical(-thing)

ἐγεγόνει καὶ οὐδενὶ τῶν πάντων ἐδείκνυτο· ὅ τε τῆς
had-become and to-no-one of-the all was-shown the and —
Αἰγύπτου τὴν ἀρχὴν ἔχων καὶ νῦν ἔτι τὸν ἄνδρα πεφόβηται
of-Egypt the rule having and now still the man fears
καὶ προκαταλαμβάνει τοῖς ἐγκωμίοις, καὶ μεταβαλόντα
and anticipates with-the praises and having-changed
τὴν τύχην ὥσπερ ἀπολοφύρεται· τοσαῦτα γὰρ αὐτῷ καὶ
the fortune as-if laments so-much for for-him both
ἡ ὄψις καὶ ὁ λόγος ἐδύνατο, ὁπόσα χεῖρες πόλεις τε
the look and the word could as-much-as hands cities both
πολλὰς κατασκάψασαι καὶ τείχη καθελοῦσαι μυριάνδρα.
many having-razed and walls having-pulled-down of-myriad-men
64 Ἐβούλετο δὲ μηδ' ὁτιοῦν τῶν πάντων ἠγνοηκέναι· ἐπεὶ
he-wished and not-even anything of-the all to-have-been-unaware since
δὲ τοῦτο τῶν ἀδυνάτων ἐγνώκει, ἑτέρῳ τρόπῳ ἐθήρα τὸ
but this of-the impossible(-things) he-knew in-another way hunted the
πρᾶγμα, καὶ τὸν εἰδότα μετακαλούμενος, ἐπυνθάνετο μὲν
matter and the(-one) knowing summoning inquired indeed
περὶ ὧν ἠγνόει οὐδέν, τοῖς δὲ λόγοις περιελίττων
about what he-was-ignorant-of nothing with-the but words winding-round
τὸν ἄνδρα, ἐποίει τὸ ἀγνοούμενον ἐξειπεῖν ὥσπερ τι
the man made the unknown(-thing) to-speak-out as-if something
τῶν κοινῶν διηγούμενον. Κἀμὲ γοῦν οὕτω πολλάκις
of-the common(-things) narrating me-too at-any-rate thus often
ἐθήρασεν, ἐπεὶ δὲ τεθάρρηκα ἅπαξ αὐτῷ τὸ ἀπόρρητον
he-hunted when but I-dared once to-him the secret
ἐξειπεῖν, ὁ δὲ κατηφής τε ἐγεγόνει καὶ ὥσπερ ἐλεγχθεὶς
to-speak-out he but downcast both became and as-if refuted
ἠρυθρίασε· τῶν γὰρ ἐλέγχων οὐ μόνον τοὺς δημοσίους, ἀλλὰ
blushed of-the for refutations not only the public but
καὶ τοὺς τεχνικοὺς, φρονήματος πλήρης ὤν, ἀπεστρέφετο.
also the artful of-pride full being he-turned-from

Ἀμέλει τοι καὶ τὸν πατριάρχην Μιχαὴλ ἅπαξ πρὸς αὐτὸν 65
indeed surely also the patriarch Michael once to him
παρρησιασάμενον καὶ θρασυτέρᾳ χρησάμενον τῇ φωνῇ, τότε
having-spoken-freely and bolder having-used the voice then
μὲν ἀφῆκεν ἐπισχὼν αὑτῷ τὸν θυμὸν, εἶτα δὴ ἀπόρρητον
indeed he-let-go having-checked in-himself the anger then indeed secret
τῇ ψυχῇ κατ᾽ αὐτοῦ περιελίξας ἐνθύμημα ἀπροσδοκήτως
in-the soul against him having-wound design unexpectedly
τε ἀναρρήγνυσι, καὶ ὡς οὐδέν τι καινοτομῶν ἐξάγει
both breaks-out and as nothing at-all innovating leads-out(-him)
τε τῆς πόλεως καὶ ὅροις κολάζει περιγραπτοῖς, ἐφ᾽
both from-the city and with-bounds punishes circumscribed in
οἷς δὴ καὶ ἀπέθετο τὴν ζωήν. Ἀλλὰ τοῦτο μὲν ὅπως
which indeed also he-laid-down the life but this indeed how
ἐπέπρακτο μακροῦ λόγου δεόμενον ἀναβάλλομαι νῦν· εἰ
it-was-done long account needing I-postpone now if
γάρ τις βούλοιτο ἀμφοῖν διαιτᾷν, τὸν μὲν τῆς
for anyone should-wish between-both to-judge the(-one) indeed for-the
ἀρχῆς καταιτιάσαιτο, τὸν δὲ τῆς τελευτῆς ἐπιμέμψαιτο
beginning he-would-blame the(-other) but for-the end would-reproach
καὶ ἐπεὶ τοῦτον ὥσπερ ἐπωμάδιον ἄχθος ἀπεφορτίσατο.
and since him like shoulder burden he-unloaded
Ἀλλ᾽ ὅ με μικροῦ διέλαθεν, εὐαγγέλιά τις αὐτῷ τῆς
but what me by-little escaped good-news someone to-him of-the
ἐκείνου ἀποδημίας ἐξ ἀποστολῆς προσήνεγκε πόρρωθεν
his departure by dispatch brought from-afar
ἀπαλλάττων ὥσπερ τῶν εἰς τὸ μέλλον φροντίδων αὐτὸν,
freeing as-it-were from-the for the future cares him
ὁ δὲ, ἐπειδή περ ἠκηκόει, ἀθρόον πληγεὶς τὴν ψυχὴν
he but when indeed he-heard suddenly struck in-the soul
ἀνωλόλυξεν, οὐκ εἰωθὼς τοῦτο ποιεῖν, καὶ πολλὰ ἐκεῖνον
wailed not wont this to-do and much him

ἀπωλοφύρετο, καὶ μετεγνώκει τῆς περὶ αὐτὸν πράξεως,
lamented and repented of-the toward him deed
ἐξιλάσκετό τε πολλάκις τὴν ἐκείνου ψυχὴν, καὶ ὥσπερ
propitiated and often the his soul and as-if
ἀπολογούμενος, μᾶλλον δὲ ἐξευμενίζων, παρρησίαν τε εὐθὺς
defending-himself rather but conciliating access both at-once
ἐδίδου τῷ ἐκείνου γένει καὶ τοῖς τοῦ βήματος συνηρίθμει,
gave to-the his family and among-the of-the sanctuary counted(-them)
τῇ τε διαδοχῇ τῆς λειτουργίας τοῦτον τετίμηκεν, ἄνδρα
with-the and succession of-the ministry this(-one) honored man
προσενεγκὼν τῷ θεῷ καὶ κοσμήσας τῷ σχήματι,
having-offered — to-God and having-adorned with-the habit
ὃν δὴ ὅ τε προλαβὼν βίος ἀνέγκλητον ἔδειξε καὶ
whom indeed the both preceding life blameless showed and
ἀπαράμιλλον, καὶ τοῖς πρώτοις σοφοῖς ὁ λόγος ἐγνώρισεν.
unrivaled and to-the first wise the eloquence made-known

Περὶ τῆς τοῦ πατριάρχου Κωνσταντίνου προχειρίσεως

XV · CONSTANTINE MADE PATRIARCH

Isaac names the statesman Constantine patriarch, a man as fitting for the altar as for the state. He then marches against the Mysians, who, driven out by the Getae, have crossed the frozen Ister; Psellos describes their savage warfare and faithless truces. The barbarians scatter before battle, and Isaac returns through a storm that costs him many men. He grows haughtier, and his brother bears it calmly. He takes up hunting with passion, and a chill caught on a hunt brings on a fever.

66 Οὗτος γὰρ δὴ ὁ περιώνυμος Κωνσταντῖνος, τὴν βασιλείαν
this for indeed the renowned Constantine the empire
πρότερον ἐκ κυμάτων καταστήσας πολλῶν, καὶ πολλοῖς
earlier from waves having-settled many and by-many

τῶν βασιλευόντων περιάρπακτος γεγονὼς, τέλος καὶ τὴν
of-the reigning(-ones) sought-after having-been finally also the
ἀρχιερωσύνην πιστεύεται, πάντων αὐτῷ παρακεχωρηκότων
high-priesthood is-entrusted-with all to-him having-ceded
τοῦ πράγματος καὶ συγχωρησάντων τὸ κατὰ πάντων
the matter and having-granted the over all
πρωτεῖον, καὶ κοσμεῖ ταύτην εἰς δύναμιν, πολιτικὸν καὶ
primacy and adorns it to power civil and
γενναῖον φρόνημα ἱερατικῷ βίῳ κατακεράσας. Τοῖς μὲν
noble spirit with-priestly life having-blended for-the indeed
γὰρ ἄλλοις τοιοῦτόν τι ἡ ἀρετὴ λελόγισται, οἷον μήτε
for others such something the virtue has-been-reckoned as neither
καιροῖς ὑπεῖξαι, μήτε οἰκονομῆσαι τὴν παρρησίαν, μήτε
to-times to-yield nor to-manage the frankness nor
τῷ ἤθει ἐπιχειρεῖν τοὺς αὐθαδεστέρους καταδουλοῦν· ὅθεν
by-the character to-attempt the more-willful to-enslave whence
πάσης μὲν θαλάττης κατατολμῶντες, πᾶσι δὲ ἀντιβαίνοντες
every indeed sea daring all and opposing
πνεύμασιν, οἱ μὲν αὐτῶν ἔδυσαν ἁρπασθέντες τοῖς
winds some indeed of-them sank snatched by-the
κύμασιν, οἱ δὲ ἀπέστησαν βιαιότερον· τῷ δὲ ἡ
waves others and were-removed more-violently for-this(-man) but the
κρᾶσις τοῦ βίου πρὸς πᾶσαν ἀκρίβειάν τε καὶ οἰκονομίαν
blend of-the life for every strictness both and accommodation
ἐξήρκεσε, καὶ μετακεχείρισται τὸ πρᾶγμα οὐ ῥητορικῶς,
sufficed and he-has-handled the matter not rhetorically
ἀλλὰ φιλοσόφως· οὐ γὰρ τὰ μὲν στωμύλλεται, τὰ
but philosophically not for some(-things) indeed he-prattles others
δὲ ὑποκρίνεται, ἀλλὰ μιᾷ ποιότητι χρώμενος ἑκατέροιν
and he-feigns but one quality using to-both
τοῖν βίοιν ἀρκεῖ. Κἂν μέν τις αὐτὸν πολιτικῶς
the two-lives suffices and-if indeed anyone him civilly

ἐξετάσειεν, ἱερατικῷ εὕροι κοσμούμενον ἀξιώματι,
should-examine with-priestly he-would-find adorned dignity
εἰ δ' ὡς ἀρχιερεῖ προσίῃ, καὶ τὰ πολλὰ φοβοῖτο
if but as to-a-high-priest he-approach and the most(-part) fear
καὶ ὑποφρίττοι, ταῖς πολιτικαῖς εὑρήσοι ἀποστίλβοντα
and shudder with-the civil he-would-find shining
χάρισι μετὰ τοῦ στιβαροῦ ἤθους καὶ τῆς μειδιώσης
graces with the sturdy character and the smiling
σεμνότητος· ἔνθεν τοι ἅπας μὲν αὐτὸν βίος τεθάρρηκεν,
dignity hence surely every indeed him life has-trusted
ἐκεῖ μὲν ὁ στρατιωτικὸς, ὁ πολιτικὸς, ἐνταῦθα δὲ τὸ
there indeed the military the civil here but the
μεγαλοπρεπὲς, τὸ εὐπρόσιτον. Τούτῳ γοῦν ἐγὼ καὶ πρὸ
magnificence the approachableness to-him at-any-rate I even before
τῆς ἀρχιερωσύνης τὴν ἀρχιερωσύνην πολλάκις προείρηκα,
the high-priesthood the high-priesthood often have-foretold
τῷ βίῳ περὶ τοῦ μέλλοντος μαντευσάμενος, καὶ μετὰ
from-the life about the future having-divined and after
τὴν ἱερατείαν μετὰ τοῦ καλλίστου ἐκεῖνον ἤθους ὁρῶ.
the priesthood with the finest him character I-see
67 Τοιούτῳ τοιγαροῦν ἀνδρὶ τὸν ἀπεληλυθότα τιμήσας
with-such accordingly man the departed having-honored
ὁ βασιλεὺς, ἐπειδὴ τοὺς ἑῴους βαρβάρους τῶν
the emperor since the eastern barbarians from-the
ἐπιχειρημάτων ἀνεῖρξε, καὶ τοῦτο δὴ ἀπραγμονέστατον
attempts he-had-checked and this indeed most-untroubled
αὐτῷ ἐγεγόνει τὸ τμῆμα, πανστρατιᾷ ἐπὶ τοὺς ἑσπερίους
for-him had-become the section with-all-the-army against the western
χωρεῖ, οὓς Μυσοὺς μὲν ὁ πάλαι χρόνος ὠνόμαζεν, εἶτα
goes whom Mysians indeed the ancient time named then
δὲ εἰς ὃ λέγονται μετωνομάσθησαν· νεμόμενοι δὲ ὁπόσα
and into what they-are-called were-renamed occupying and as-much-as

ὁ Ἴστρος πρὸς τὴν τῶν Ῥωμαίων διορίζει ἡγεμονίαν,
the Ister toward the of-the Romans bounds dominion
ἀθρόον τε ἀπανέστησαν καὶ πρὸς τὴν ἡμεδαπὴν γῆν
all-at-once both they-rose-up and to the our land
μετῳκίσθησαν· αἰτία δὲ αὐτοῖς τῆς ἐπαναστάσεως τὸ
migrated cause and for-them of-the uprising the
τῶν Γετῶν ἔθνος, ὁμοροῦντες μὲν ἐκείνοις, ληστεύοντες
of-the Getae nation bordering indeed those plundering
δὲ τούτους καὶ ληϊζόμενοι, καὶ πρὸς τὴν μετοικεσίαν
but them and pillaging and to the migration
ἐκβιαζόμενοι· διὰ ταῦτα ἀποκρυσταλλωθέντι ποτὲ
forcing because-of these(-things) having-frozen once
τῷ Ἴστρῳ ὥσπερ ἠπείρῳ χρησάμενοι, ἐκεῖθεν πρὸς ἡμᾶς
the Ister as mainland having-used from-there to us
μετανίστανται, ὅλον ἔθνος τοῖς ἡμετέροις ἐπιφορτισθέντες
they-migrate whole nation on-the our having-been-loaded
ὁρίοις, καὶ οὐκ ἔχοντες οὐδ' ὅπως ἂν ἠρεμήσαιεν, οὐδ'
borders and not having either how — they-might-keep-quiet nor
ὅπως τοὺς οἷς προσήγγισαν μὴ ὀχλήσαιεν.
how the(-ones) to-whom they-approached not they-might-trouble
Εἰσὶ δὲ καὶ μᾶλλον τῶν ἄλλων ἐθνῶν δύσμαχοί τε 68
they-are and even more than-the other nations hard-to-fight both
καὶ δυσπολέμητοι, οὔτε γενναῖοι τοῖς σώμασιν ὄντες, οὔτε
and hard-to-subdue neither noble in-the bodies being nor
τὴν ψυχὴν θαρραλέοι· ἀλλ' οὐδὲ θώρακας ἀμφιέννυνται,
in-the soul bold but not-even breastplates they-put-on
οὐδὲ κνημῖδας περίκεινται, οὐδὲ λόφων τισὶ τὰς κεφαλὰς
nor greaves wear nor of-crests with-any the heads
κατασφαλίζονται· ἀσπὶς δὲ αὐτοῖς οὐδ' ἠτισοῦν ἐν χερσὶν,
secure shield and for-them not-even any-at-all in hands
οὔτ' ἐπιμήκης οἵα δή φασι τὰς Ἀργολικὰς, οὔτε
neither oblong such-as indeed they-say the Argolic nor

περιφερὴς, ἀλλ᾽ οὐδὲ ξίφη περιζώννυνται, δόρατα δὲ μόνον
round but not-even swords they-gird spears but only
ἐναγκαλιζόμενοι, τοῦτο δὴ μόνον τὸ ὅπλον πρόβλημα
carrying this indeed only the weapon defense
ἔχουσιν. Οὐ διαιροῦνται δὲ κατὰ λόχους, οὐδέ τις αὐτοὺς
they-have not they-are-divided and into companies nor any them
ἐπιστήμη στρατηγικὴ προάγει εἰς πόλεμον, οὐδ᾽ ἴσασι
science military leads into war nor they-know
μετώπου τάξιν, οὐκ εὐώνυμον κέρας, οὐ δεξιὸν, ἀλλ᾽ οὐδὲ
of-front order not left wing not right but not-even
χάρακας ἑαυτοῖς πήγνυνται, οὐδὲ τὴν πέριξ διορυχὴν
palisades for-themselves fix nor the around trench
ἴσασιν, ἀλλ᾽ ὁμοῦ φύρδην συμπλακέντες ἀλλήλοις καὶ τῇ
they-know but together pell-mell having-intertwined with-one-another and by-the
πρὸς τὸ ζῆν ἀπογνώσει ῥωσθέντες, μέγα τε ὀλολύζουσι
toward the to-live despair strengthened loud both they-howl
καὶ οὕτω τοῖς ἀντιτεταγμένοις ἐμπίπτουσι· κἂν μὲν
and thus on-the opposed(-ones) fall and-if indeed
ἀπώσωσιν, οἷα πύργοι ἐπιρραγέντες αὐτοὺς ἀφειδῶς ἑπόμενοι
they-push-back like towers having-burst-on them unsparingly following
κατασφάττουσιν, εἰ δὲ ἡ πολεμία φάλαγξ ἀντίσχῃ τὴν
slaughter if but the hostile phalanx withstand the
ἔφοδον καὶ οὐ ῥαγῇ ἐν ταῖς τῶν βαρβάρων ἐμπτώσεσιν ὁ
attack and not be-broken in the of-the barbarians onslaughts the
συνασπισμὸς, οἳ δὲ αὐτίκα στραφέντες φυγῇ τὴν σωτηρίαν
shield-wall they but at-once having-turned in-flight the safety
διώκουσι· φεύγουσι δὲ οὐ τεταγμένως, ἀλλ᾽ ἄλλοις ἄλλος
pursue they-flee and not in-order but with-others one
ἄλλοθι διασκεδασθέντες· ὁ μέν τις εἰς ποταμὸν ἑαυτὸν
elsewhere scattered the(-one) indeed one into river himself
ὤσας ἢ ἀπενήξατο, ἢ κατέδυ ταῖς δίναις περιελιχθεὶς,
having-thrust either swam-away or sank in-the eddies wound-round

ὁ δὲ εἰς ὕλην βαθεῖαν ἐμβεβηκὼς τοὺς τῶν διωκόντων
the(-other) and into forest deep having-entered the of-the pursuers
ἐκπέφευγεν ὀφθαλμούς, καὶ ἄλλως καὶ σύμπαντες ἅμα
has-escaped eyes and otherwise and all at-once
διασπαρέντες, εἶτ' αὖθις εἰς ταὐτὸ, ὁ μὲν ἐξ ὄρους,
scattered then again into the-same the(-one) indeed from mountain
ὁ δὲ ἐκ φάραγγος, ὁ δέ τις ἐκ ποταμῶν, καὶ
the(-other) and from ravine the(-other) and one from rivers and
ἄλλος ἄλλοθεν ἀπροόπτως συνθέουσι. Δεῆσαν δὲ αὐτοῖς
one from-elsewhere unexpectedly run-together it-being-needful and for-them
πιεῖν, εἰ μὲν ἐντύχοιεν ὕδασιν ἢ πηγαίοις ἢ ποταμίοις,
to-drink if indeed they-meet waters either spring or river
λάπτουσιν αὐτίκα ἐπεισπεσόντες, εἰ δ' οὖν, τοῦ ἵππου
they-lap at-once having-fallen-upon(-them) if but then from-the horse
ἕκαστος ἀποβὰς ἐξαιματοῦσι τούτους, σιδήρῳ τὰς
each having-dismounted they-bleed them with-iron the
φλέβας ἀναστομώσαντες, καὶ τὴν δίψαν οὕτως ἰῶνται, ὡς
veins having-opened and the thirst so they-cure as
ὕδατι τῷ αἵματι χρώμενοι· εἶτα δὴ καὶ τὸν πιώτατον
water the blood using then indeed also the fattest
τῶν ἵππων ἀνατεμόντες, καὶ τὴν εὑρημένην ἀνακαύσαντες
of-the horses having-cut-up and the found having-kindled
ὕλην, αὐτοῦ που τὰ ἐντετμημένα τοῦ ἵππου μέλη
wood there somewhere the cut-up of-the horse limbs
βραχύ τι διαθερμάναντες μετὰ τοῦ λύθρου λαφύσσουσι,
slightly somewhat having-warmed with the gore they-gulp
καὶ οὕτως ἑαυτοὺς ἀναλαβόντες ἐπὶ τὰς πρώτας ἵενται
and thus themselves having-recovered to the first hasten
καλιάς· καὶ ἐμφωλεύουσιν ὥσπερ ὄφεις φάραγξι βαθείαις
huts and lurk like snakes in-ravines deep
καὶ κρημνοῖς ἀποτόμοις, ὁπόσα τείχεσι χρώμενοι.
and cliffs sheer as-though walls using

69 Τοῦτο τὸ γένος δεινοὶ ξύμπαντες καὶ τὰς γνώμας
this the race dreadful all and in-the minds
ὑποκαθήμενοι· οὔτε δὲ συνθῆκαι τούτους φιλίας
lying-in-wait neither and treaties them of-friendship
ἐπέχουσιν, οὔτε κατὰ τῶν θυμάτων ὀμόσαντες τοῖς ὅρκοις
restrain nor over the sacrifices having-sworn by-the oaths
ἐμμένουσιν, ἐπεὶ μηδέ τι θεῖον σεβάζονται, ἵνα μὴ
they-abide since not-even any divine they-revere that not
λέγω θεὸν, ἀλλ' αὐτόματα τούτοις πάντα συνέστηκε, καὶ
I-say God but by-chance for-them all-things have-come-about and
τὴν τελευτὴν πέρας συμπάσης ὑπάρξεως οἴονται· διὰ
the end limit of-all existence they-think because-of
ταῦτα ῥᾳστά τε σπένδονται, καὶ πολεμεῖν δεῆσαν,
these(-things) very-easily both they-make-truce and to-war it-being-necessary
εὐθὺς ἠθετήκασι τὰς σπονδάς· κἂν ἑλοῖεν τῷ πολέμῳ,
at-once they-have-broken the truce and-if they-should-take in-the war
οἱ δὲ πάλιν δευτέρας ἐπικαλοῦνται φιλίας, εἰ δὲ μαχόμενοί
they but again second call-for friendship if but fighting
τινας ἕλωσι, τοὺς μὲν ἀναιροῦσι, τῶν δὲ λαμπρὰν
any they-capture some indeed they-kill of-others and splendid
πεποίηνται ἀγορὰν, καὶ τιμῶσι πολλοῦ τοὺς εὐδαίμονας
they-have-made market and value at-much the wealthy
τοῖς λύτροις, ἢν δὲ μὴ ταῦτα λάβωσιν, ἀποκτείνουσι.
for-the ransoms if but not these(-things) they-receive they-kill
70 Τοῦτο δὴ τὸ γένος ἀπελάσαι τῶν Ῥωμαϊκῶν ὅρων
this indeed the race to-drive-out from-the Roman bounds
ἐπιχειρήσας ὁ βασιλεὺς Ἰσαάκιος, ἐπ' αὐτοὺς σὺν καρτερᾷ
having-attempted the emperor Isaac against them with strong
τῇ φάλαγγι ἴεται· καὶ διαιρεθεῖσι μὲν καὶ ἑτερογνώμοσι
the phalanx rushes and divided indeed and of-different-minds
γεγονόσιν οὐ πάνυ πιστεύει, ἐπὶ δὲ τὸ καρτερώτατον
having-become not very trusts against but the strongest

αὐτῶν μέρος καὶ δύσμαχον ὁμοῦ καὶ δυσανάλωτον ἄγει τὴν
their part and hard-to-fight at-once and hard-to-take leads the
στρατιὰν, καὶ δὴ πλησιάσας αὐτοῖς ἑαυτῷ τε καὶ τῷ
army and indeed having-approached them by-himself both and by-the
στρατοπέδῳ κατέπληξε· πρὸς μὲν γὰρ τὸν οἷα δὴ
army he-terrified(-them) toward indeed for the(-one) as-if indeed
κεραυνοφόρον ἀντωπεῖν οὐκ ἐτόλμων, τοῦ δὲ στρατοπέδου
thunderbolt-bearer to-look-in-the-face not they-dared of-the but army
τὸν ἀρραγῆ συνασπισμὸν βλέποντες αὐτοὶ διελύοντο·
the unbroken shield-wall seeing they were-dissolving
ὅθεν καὶ κατὰ μέρη προσβάλλοντες καὶ ἐπωρυόμενοι
whence and in parts attacking and howling
ταῖς φωναῖς ἀρραγεστέροις αὐτοῖς ἐνετύγχανον· ὡς
with-the voices more-unbroken them they-met as
δὲ οὐκ εἶχον, οὔτε λοχήσαντες τούτους ἑλεῖν, οὔτε
and not could either having-ambushed them to-take nor
μὴν εἰς τοὐμφανὲς παρατάξασθαι, πόλεμον ἐς τρίτην
indeed in the-open to-array battle for third(-day)
αὐτοῖς ἀπαγγείλαντες, αὐθημερὸν τὰς σκηνὰς ἀφέντες καὶ
to-them having-announced on-the-same-day the tents having-left and
ὁπόσοις οὐκ ἐξήρκει φυγεῖν γέρουσί τε καὶ βρέφεσιν, ἀνὰ
to-whom-ever not it-sufficed to-flee old-men both and babes through
τοὺς δυσβάτους τόπους διεσκεδάσθησαν. Ὡς δὲ κατὰ τὰ
the impassable places were-scattered when but according-to the
ξυγκείμενα ὁ μὲν βασιλεὺς συντεταγμένην ἔχων ἐξῆλθε
agreed(-things) the indeed emperor arrayed having went-out
τὴν φάλαγγα, τῶν δὲ βαρβάρων οὐδεὶς ἑωρᾶτο, ἕπεσθαι
the phalanx of-the but barbarians no-one was-seen to-follow
μὲν ἐκείνοις κατόπιν οὐκ ἐδοκίμασε, λόχους τε ἀφανεῖς
indeed them behind not he-approved ambushes both unseen
δεδιὼς καὶ ὅτι πρότριτα προὔλαβον τὴν φυγὴν,
fearing and because three-days-before they-had-gotten-ahead-in the flight

τὰς δὲ σκηνὰς αὐτοῖς κατασκάψας καὶ τὴν εὑρημένην
the but tents their having-razed and the found
λείαν ἀπαγαγὼν, τροπαιοφόρος ἐπάνεισιν. Οὐ δεξιᾷ δὲ τῇ
booty having-carried-off trophy-bearing he-returns not favorable but the
ἐπαναζεύξει χρησάμενος, χειμῶνος ἀθρόον τῷ στρατοπέδῳ
return having-had storm suddenly on-the army
ἐξαφθέντος δεινοῦ, πολλοὺς μὲν ἀποβάλλει τῆς στρατιᾶς,
having-broken-out dreadful many indeed he-loses of-the army
ἐπάνεισι δ' οὖν ὅμως τῇ πόλει, στέμμασιν ἀριστείοις
returns but then nevertheless to-the city with-crowns of-valor
ἀναδεδεμένος τὴν κεφαλήν.
bound in-the head

71 Ἐντεῦθεν, ὁπόσα ἐγὼ οἶδα ἀκριβέστερον τὴν ἐκείνου
thence as-far-as I know more-exactly the his
καταμανθάνων ψυχὴν, προσέθετο τῷ ἐμφύτῳ ἤθει, καὶ
learning soul he-added to-the inborn character and
σοβαρώτερος ἐγεγόνει, καταπεφρονήκει γοῦν ἁπάντων·
more-haughty had-become he-had-despised at-any-rate all
τό τε γὰρ συγγενὲς ἐν ἴσῳ τοῖς ἄλλοις εἱστήκει, καὶ
the both for kindred in equal with-the others stood and
ὁ ἀδελφὸς, ἐπεὶ ταῖς πόρρω εἰσόδοις τῶν βασιλείων
the brother when the far entrances of-the palace
πλησιάσειε, ἀπέβαινε τοῦ ἵππου εὐθὺς, προστεταγμένον
he-approached dismounted from-the horse at-once it-having-been-ordered
αὐτῷ, καὶ οὐδέν τι τῶν ἄλλων σεμνότερον προσήει
for-him and nothing at-all than-the others more-solemnly approached
τῷ ἀδελφῷ· ὁ δὲ κάλλιστος ὢν τὸ ἦθος ὧν ἐγὼ
the brother he but finest being in-the character of-whom I
οἶδα, ὁμαλῶς δέχεται τὴν μεταβολὴν καὶ οὐ δυσχεραίνει
know evenly accepts the change and not is-vexed-at
τὴν καινοτομίαν, ἀλλὰ καὶ καλοῦντι τῷ βασιλεῖ σὺν αἰδοῖ
the innovation but also to-calling the emperor with respect

παρεγίγνετο, καὶ τὰ πολλὰ ὑπεχώρει, καὶ παράδειγμά
he-attended and the most(-part) yielded and example
τε τοῖς ἄλλοις τῆς ὁμοίας ἐγίγνετο μεταθέσεως.
both to-the others of-the like became change
Οὕτω μὲν οὖν τῷ βασιλεῖ τὸ ἦθος μετεσκεύαστο, καὶ ὁ 72
thus indeed then in-the emperor the character had-been-altered and the
δεύτερος ἐτελεύτα καιρός· ἄρχεται δὲ ὁ τρίτος ἐντεῦθεν.
second ended period begins and the third thence
Ἐπτόητο περὶ τὰ κυνηγέσια ὁ βασιλεὺς, καὶ ἦν εἴ πέρ
was-passionate about the hunts the emperor and was if indeed
τις ἄλλος ἐραστής τε τῶν ἐντεῦθεν δυσεφίκτων καὶ
anyone else lover both of-the thence hard-to-reach(-quarries) and
θηρατὴς ἀκριβής· ἱππάζετο γὰρ ἐλαφρῶς ἐποκλάζων τε
hunter exact he-rode for lightly crouching both
καὶ ἐπιθωΰζων ἐπτέρου μὲν τὸν κύνα, ἐπεῖχε δὲ τῷ λαγῷ
and halloing he-winged indeed the dog checked and for-the hare
τὸν δρόμον, πολλάκις δὲ καὶ ἐκ χειρὸς ᾖρει θέοντα, καὶ
the course often and also by hand caught(-it) running and
βάλλων οὐκ ἀπετύγχανε· περὶ δὲ τὴν τῶν γεράνων θήραν
throwing not missed about but the of-the cranes hunt
καὶ μᾶλλον ἐτέρπετο, καὶ τὸ γένος αἰθεροδρομούσας οὐκ
and more he-delighted and the race air-running not
ἀπεγίνωσκεν, ἀλλὰ καθῄρει τοῦ ὕψους, καὶ ἦν ὡς ἀληθῶς
despaired-of but brought-down from-the height and was as truly
ἡδονὴ μιγνυμένη θαύματι· τὸ μὲν γὰρ θαῦμα ὅτι παμμέγεθες
pleasure mingled with-wonder the indeed for wonder that very-great
οὕτω ζῷον τοῖς ποσὶν οἷα δόρασι χρώμενον καὶ τοῖς νέφεσιν
so creature the feet as spears using and in-the clouds
ἤδη κρυπτόμενον ὑπὸ βραχυτέρου ἡλίσκετο, τὴν δὲ ἡδονὴν
already hidden by smaller was-caught the and pleasure

ἡ πτῶσις ἐδίδου, ἔπιπτε γὰρ ἡ γέρανος ἐπορχουμένη τὸν
the fall gave fell for the crane dancing-out the
θάνατον, καὶ νῦν μὲν τὰ πρανῆ, νῦν δὲ δεικνύουσα τὰ ὕπτια.
death and now indeed the front now but showing the back
73 Ἀμφοτέρᾳ γοῦν τῇ θήρᾳ ὁ αὐτοκράτωρ τερπόμενος,
in-both at-any-rate the hunt the autocrat delighting
ἵνα μὴ κολάζῃ τὰ συγκεκλεισμένα θηρώμενος, ἐπὶ τὰ
that not he-might-restrict the enclosed(-grounds) hunting to the
ἐλεύθερα καὶ τῷ δρόμῳ καὶ τῷ πτερῷ ἀνέτως χρώμενος,
open(-lands) both the course and the wing freely using
δόξαν αὐτῷ, ἐξελήλυθεν, καὶ βασίλειος τοῦτον καταγωγὴ
it-seeming-good to-him has-gone-out and imperial him lodge
αὐτοῦ που πρὸ τοῦ ἄστεως ὑποδέχεται, περίκυκλος τῇ
there somewhere before the city receives surrounded by-the
θαλάσσῃ καὶ ἑκατέρου μέρους ἀνδρὶ αὐτάρκης θηρατικῷ,
sea and for-each part for-a-man sufficient hunting
ἀλλ᾽ οὐχὶ καὶ τῷ βασιλεῖ τούτῳ· ἑῷος γὰρ ἐπανατέλλων
but not also for-the emperor this at-dawn for rising-up
τῇ θήρᾳ εἰς ἑσπέραν βαθεῖαν κατήγετο. Πολλάκις δὲ τῇ
to-the hunt to evening deep he-came-down often and the
βολῇ τῆς λόγχης ἐπὶ τὰς ἄρκτους καὶ τὰς ὗς χρώμενος καὶ
throw of-the lance at the bears and the boars using and
συνεχῶς ἐπανατείνων τὴν δεξιὰν, ψυχρῷ πνεύματι βάλλεται
continually raising the right(-arm) by-cold wind is-struck
τὴν πλευρὰν, καὶ τότε μὲν οὐ πάνυ κατάδηλος ἡ πληγὴ
in-the side and then indeed not very evident the blow
ἐγεγόνει, τῇ δὲ ἐφεξῆς ῥιγώσαντα πυρετὸς διαδέχεται.
had-become on-the but next(-day) having-shivered fever succeeds

Περὶ τῆς νόσου τοῦ βασιλέως

XVI · THE EMPEROR'S ILLNESS

Psellos disputes the physicians' reading of Isaac's fever. The emperor rallies at Blachernae, then worsens and is carried to the Great Palace. Believing himself dying, he wishes to become a monk; the empress blames Psellos and begs her husband at least to choose a loyal successor. He summons Constantine Doukas, whom Psellos praises at length for his lineage, modesty, and refusal of the throne.

Ἐγὼ δὲ τούτων οὐδὲν εἰδὼς, ἔξειμι πρὸς αὐτὸν ὀψόμενός τε 74
I but of-these nothing knowing go-out to him going-to-see both
καὶ χαριούμενος τούτῳ τὰ εἰωθότα· ὁ δέ με κλινοπετὴς
and going-to-oblige him in-the customary(-ways) he but me bedridden
κατασπάζεται· ὀλίγη τε αὐτῷ παρειστήκει δορυφορία,
greets small and by-him stood guard
παρῆν δὲ καὶ τῶν ἀσκληπιαδῶν ὁ κάλλιστος. Ἐπεὶ δὲ
was-present and also of-the asclepiads the finest when and
ἠσπάσατο καὶ ἱλαρῷ ἐθεάσατο βλέμματι, — "ἀλλ' εἰς
he-greeted(-me) and with-cheerful looked look but in
καιρὸν, φησὶν, ἥκεις!" καὶ εὐθὺς τὴν χεῖρα ἐδίδου, τὰς
time he-says you-come and at-once the hand gave the
κινήσεις τοῦ σφυγμοῦ γνωματεύσαντι, εἴδει γάρ με καὶ τὴν
movements of-the pulse to-(me)-judging he-knew for me also the
περὶ τοῦτο τέχνην ἀσκήσαντα. Κἀγὼ ξυμμαθὼν ὅ τί
about this art having-practiced I-too having-understood what —
ποτε τὸ νόσημα εἴη, οὐκ εὐθὺς ἐφθεγξάμην, ἀλλὰ πρὸς τὸν
ever the illness was not at-once I-spoke but to the
ἀσκληπιάδην ἐκεῖνον στραφεὶς, — "σοὶ δὲ, ἔφην, ποδαπὸς
asclepiad that having-turned to-you and I-said of-what-sort
οὗτος ὁ πυρετὸς ἔδοξεν;" ὁ δὲ γεγονωτέρᾳ χρησάμενος
this the fever seemed he but louder having-used

τῇ φωνῇ, ἵνα καὶ ὁ βασιλεὺς ἀκούοι, — "ἐφήμερος μὲν,
the voice that also the emperor might-hear one-day indeed
φησὶν, εἰ δὲ μὴ αὐθημερὸν λέλυται, θαυμάζειν οὐ χρή·
he-says if but not on-the-same-day it-is-resolved to-wonder not one-must
ἔστι γὰρ καὶ τοιοῦτον γένος, καὶ ψεύδεται τοὔνομα." —
there-is for also such kind and belies the-name
"Ἀλλ' ἐγὼ ἔφην, οὐ πάνυ σου τῇ γνώμῃ ξυντίθεμαι·
but I said not very your with-the opinion I-agree
ἡ γὰρ τῆς ἀρτηρίας κίνησις τριταϊκὴν περίοδόν μοι
the for of-the artery movement tertian cycle to-me
μαντεύεται· ἀλλ' ἀληθεύειν μὲν τὸ σὸν Δωδωναῖον
prophesies but to-tell-truth indeed the your Dodonaean
χαλκεῖον, ὁ δ' ἐμὸς τρίπους ψευδέσθω, ψεύσεται δὲ ἴσως
bronze the but my tripod let-lie it-will-lie and perhaps
ὅτι μοι πρὸς τὸ χρᾷν ἡ παρασκευὴ οὐκ αὐτάρκης."
because for-me for the to-prophesy the equipment not sufficient
75 Ἦκεν οὖν ἡ τρίτη τῶν ἡμερῶν, καὶ βραχύ τι
came then the third of-the days and slightly somewhat
παραδραμὼν τὴν περίοδον ὁ καιρὸς, τὸν μὲν ἀπεδείκνυ
having-run-past the cycle the time the(-one) indeed showed
τεχνίτην, ἐμὲ δὲ διημαρτηκότα τοῦ ἀκριβοῦς· ἔνθεν τοι καὶ
expert me but having-missed the exact hence surely also
τροφή τις τῶν οὐ πάνυ ἁδρῶν τῷ βασιλεῖ ἐσκευάζετο,
food some of-the not very rich for-the emperor was-prepared
ἀλλ' οὐκ ἔφθη προσιέμενος ταύτην, καὶ ἐκ τοῦ
but not he-was-sooner taking it and from the
βάθους αὐτίκα ἐκκαίεται πυρετός. Τὸν μὲν οὖν Κάτωνά
depth at-once is-kindled fever — indeed then Cato
φασι πυρέττοντα ἤ τινι ἄλλῳ κατεσχημένον νοσήματι,
they-say having-fever or by-some other held illness
ἄτροφόν τε μέχρι παντὸς διαμένειν καὶ ἄτρεπτον ἔς τ'
without-food both until all(-the-end) to-remain and unmoved until —

ἂν ἡ περίοδος λήξῃ καὶ ὁ καιρὸς αὐτῷ μεταβάλλῃ·
— the cycle should-cease and the crisis for-him should-change
ὁ δὲ ἐξ ἐναντίας ἐκείνῳ διεποικίλλετο τῷ σώματι καὶ
he but from opposite to-him was-varied in-the body and
ἐστρέφετο, ἤσθμαινέ τε πυκνότερον καὶ οὐδ' ὅπως οὖν
tossed panted and more-rapidly and not-even how ever
αὐτῷ ἀνακωχὴν ἡ φύσις ἐδίδου· ἐπεὶ δέ ποτε ἀνεθείη,
to-him respite the nature gave when but ever he-was-relieved
τῆς ἐς τὰ βασίλεια ἐπανόδου ἐμέμνητο.
of-the to the palace return he-thought

Καὶ αὐτίκα τῆς βασιλείου ἐπιβὰς τριήρους ἐν Βλαχέρναις 76
and at-once the imperial having-boarded trireme at Blachernae
καταίρει, καὶ τῶν ἀνακτόρων ἐντὸς γεγονὼς ῥᾴων τε
puts-in and of-the palace inside having-come easier both
γίγνεται, καὶ ἐπιτρυφᾷ τῷ καιρῷ, γλωττηματικώτερον
becomes and luxuriates in-the occasion more-wittily
ὁμιλήσας καὶ τοῦ συνήθους πλέον χαριεντισάμενος,
having-conversed and than-the usual more having-jested
κατεῖχέ τε ἡμᾶς ἄχρις ἑσπέρας, ἀρχαῖά τε διηγούμενος
he-kept and us until evening old(-tales) both narrating
καὶ ὁπόσα ὁ βασιλεὺς ἐκεῖνος Βασίλειος ὁ τοῦ Ῥωμανοῦ
and as-many-as the emperor that Basil the — of-Romanos
παῖς ἐπικαίρως ἐφθέγξατο.
son aptly uttered

Ἐπεὶ δὲ ἔδυ ὁ ἥλιος, ἡμᾶς μὲν ἀφίησιν, αὐτὸς δὲ 77
when and set the sun us indeed he-dismisses himself and
πρὸς ὕπνον ἐτράπετο· κἀγὼ ἀπεληλύθειν τεθαρρηκὼς καὶ
to sleep turned I-too had-gone-off confident and
γλυκείαις ἐπὶ τῷ βασιλεῖ ἐλπίσι τρεφόμενος· πρωϊαίτερον
on-sweet for the emperor hopes feeding rather-early
δὲ αὖθις ἐκεῖσε παραγενόμενον ἐπτόησέ τις αὐτίκα πρὸ
and again there arriving alarmed(-me) someone at-once before

θυρῶν, νύττεσθαι μὲν φήσας τῷ βασιλεῖ τὴν πλευράν,
doors to-be-pricked indeed having-said for-the emperor the side
αὐτὸν δὲ πνευστιᾷν καὶ οὐ πάνυ τι γενναίως ἀναφέρειν
him and to-pant and not very at-all strongly to-draw-up
τὸ ἆσθμα· ἐπάγην ἀκούσας, καὶ τὸ δωμάτιον οὗ ἔκειτο
the breath I-froze having-heard and the chamber where he-lay
ἀψοφητὶ εἰσιὼν, ἐπιστυγνάσας αὐτίκα ἠρέμα εἱστήκειν· ὁ δέ
noiselessly entering having-become-gloomy at-once quietly I-stood he but
μου τοῖς ὀφθαλμοῖς ὥσπερ πυθόμενος, εἰ μὴ παντάπασιν
of-me with-the eyes as-if having-asked whether not altogether
ἔχοι πονήρως καὶ ἀποβιώσκει, τὴν χεῖρα αὐτίκα ὑπέτεινε·
he-was badly and is-dying the hand at-once held-out
πρὶν ἢ δέ με τοὺς δακτύλους ἐπιβαλεῖν τῷ καρπῷ, ὁ
before than but me the fingers to-lay on-the wrist the
πρῶτος τῶν ἰατρῶν, οὐδὲν δὲ δεῖ λέγειν τοὔνομα, —
first of-the physicians not-at-all and one-must to-say the-name
"ἀλλὰ μηδὲ γνωμάτευε τὴν ἀρτηρίαν, φησί· κατείληπται
but not-even examine the artery he-says has-been-grasped
γάρ μοι ἤδη ἡ κίνησις, καὶ κατὰ μῆκος τοῦ συνεχοῦς
for by-me already the movement and along length of-the continuity
διακέκοπται, καὶ τὸ μὲν αὐτῆς πλήττει τὸν δάκτυλον,
has-been-cut-through and the(-part) indeed of-it strikes the finger
τὸ δὲ ὑπείκει, καὶ ὅπερ ἐστὶν ἡ πρώτη τῇ τρίτῃ κινήσει,
the(-part) but yields and what is the first to-the third movement
τοῦτο ἡ δευτέρα τῇ τετάρτῃ, καὶ ἐφεξῆς οὕτως, ὥσπερ
this the second to-the fourth and in-turn thus like
ὅσοι τῶν τεμνόντων σιδήρων ἐς ὀδόντας διῄρηνται."
as-many-as of-the cutting irons into teeth are-divided
78 Ἐγὼ γοῦν ὀλίγα τοῦ ἀνδρὸς φροντίσας, κατὰ πᾶσάν
I at-any-rate little of-the man having-heeded through every
τε διάστασιν διηρευνησάμην τὴν κίνησιν, καὶ πρίονα μὲν
and dimension examined the movement and saw indeed

τὸν σφυγμὸν οὐκ ἐγνώκειν, ἀμυδρότερον δὲ ἀναφέροντα
the pulse not I-found fainter but rising
καὶ ἐοικότα οὐ παρέτῳ ποδί, ἀλλὰ δεσμώτῃ καὶ βιαζομένῳ
and like not to-a-palsied foot but to-a-prisoner and forced
τὴν κίνησιν· ἦν δὲ ὁ καιρὸς ἐκεῖνος τὸ ἀκμαιότατον
in-the movement was and the time that the most-acute(-point)
τοῦ διοχλοῦντος ἐκεῖνον νοσήματος· ἠπάτησε γοῦν τοὺς
of-the troubling him illness deceived at-any-rate the
πολλοὺς, καὶ ἠμφισβήτησάν γε μικροῦ δεῖν ξύμπαντες
many and disputed at-least by-little to-lack all
περὶ τῆς ἐκείνου ζωῆς.
about the his life
Θόρυβος οὖν ἐντεῦθεν καταλαμβάνει τὰ βασίλεια, καὶ ἥ τε 79
uproar then thereupon seizes the palace and the both
βασιλὶς, θαυμάσιόν τι χρῆμα γυναικῶν αὕτη καὶ εὐγενείας
empress wonderful some thing among-women she and of-nobility
τὰ πρῶτα καὶ οὐδενὶ παραχωροῦσα τῆς μείζονος ἀρετῆς, ἥ
the first and to-no-one yielding in-the greater virtue the
τε τοῖν βασιλέοιν θυγάτηρ, ὡραία δὲ καὶ αὕτη κατ᾽ ἄμφω
and of-the two-sovereigns daughter fair and also she in both
καὶ πρὸ ὥρας ἐκτετμημένη, ἀλλὰ καὶ μετὰ τὴν τομὴν
and before season shorn but even after the tonsure
ἠλεκτρώδης τε ὁμοῦ καὶ πυρσὴ καὶ τῷ σχήματι ἄμφω
amber-bright both at-once and ruddy and by-the habit both
κατασεμνύνουσα, ἄμφω τε οὖν, καὶ ὁ τοῦ αὐτοκράτορος
dignifying both both then and the of-the autocrat
ἀδελφὸς, πρὸς δὲ καὶ ὁ ἀνεψιὸς, τὴν τοῦ αὐτοκράτορος
brother besides and also the nephew the of-the autocrat
κλίνην περικυκλώσαντες, ἐξόδια τούτῳ ἐδίδοσαν ῥήματα καὶ
bed having-surrounded farewell to-him gave words and
ἐξιτήρια κατέρρεον δάκρυα, καὶ προέπεμπον αὐτίκα ἐπὶ τὰ
parting flowed-down tears and escorted(-him) at-once to the

μείζω βασίλεια, ἵν' ἐκεῖσε γενόμενος βουλεύσαιτό τι τῶν
greater palace that there having-come he-might-plan something of-the
δεόντων, καὶ μὴ τὸ γένος ἀφήσει συνδυστυχήσαντας ἐκείνῳ
needful(-things) and not the family would-leave sharing-misfortune with-him
τὴν εὐδαίμονα τῆς βασιλείας ζωήν. Ὁ μὲν οὖν συνεσκευάζετο
the prosperous of-the empire life he indeed then prepared
ὡς ἐκεῖσε ἀφιξόμενος· παρεγένετο δὲ τούτῳ οὐ πρὸ καιροῦ
as there going-to-go arrived and to-him not before time
καὶ ὁ τῆς θεοῦ Σοφίας ἀρχιερεὺς, σύμβουλος ἐπὶ τὰ
also the of-the God's Wisdom high-priest adviser toward the
κρείττω γιγνόμενος καὶ πᾶσι λόγοις τοῦτον ἐπιρωννύς.
better(-things) becoming and with-all words him strengthening
80 Ὡς δ' οὖν κἀκείνῳ ἡ μετάθεσις ἤρεσεν, οὐ κατέβαλε
when and then to-him-too the change pleased not lost
τὸ γενναῖον ἐνταῦθα ὁ βασιλεὺς, οὐδ' ἐξῄει τοῦ
the courage here the emperor nor went-out from-the
δωματίου χειραγωγούμενος, ἀλλ' οἷος ἐκεῖνος ὑψικόμῳ
chamber led-by-the-hand but such-as he to-a-lofty-crowned
ἐοικὼς κυπαρίττῳ ὥσπερ τισὶ πνεύμασι διατινασσόμενος,
like cypress as-if by-some winds being-shaken
κατακεκλόνητο μὲν προϊὼν, προῄει δὲ ἀκρατὴς ταῖν
was-tossed indeed going-forward went-on but powerless in-the
χεροῖν καὶ ἀρκῶν ἑαυτῷ· οὕτω τε οὖν καὶ τοῦ ἵππου
two-hands and sufficing for-himself thus both then and the horse
ἐπιβεβήκει, τῷ δὲ πλῷ οὐκ οἶδ' ὅπως ἐχρήσατο. Ἐγὼ
had-mounted the but voyage not I-know how he-made I
γὰρ διὰ τῆς ἑτέρας ὁδοῦ προλαβεῖν ἔσπευσα· οὐ τοῦ
for by the other road to-get-ahead hastened not the
σκοποῦ δὲ ἔτυχον, ἀλλ' ἐπικαταλαμβάνω τοῦτον ἀτεχνῶς
aim but I-achieved but I-overtake him simply
διακυμανθέντα καὶ τοῖς ὅλοις ἐξαπορούμενον· περιεκάθητο
tossed-about and in-the whole at-a-loss sat-around

δέ γε τοῦτον τὸ γένος ἀνολοφυρόμενοι ξύμπαντες, καὶ
and at-least him the family lamenting all and
συνεκπνεύσαντες ἐκείνῳ εἴ γε δύναιντο· κατῆρχε δὲ
going-to-expire-with him if at-least they-could led and
τῶν θρήνων ἡ βασιλὶς, καὶ ἡ θυγάτηρ ἀντωλοφύρετο
the dirges the empress and the daughter lamented-in-answer
γοερότερον ἀντεπικλαίουσα τῇ μητρί.
more-mournfully weeping-back to-the mother

Καὶ τὸ μὲν περὶ αὐτῶν ἐν τούτοις· ὁ δέ γε βασιλεὺς 81
and the indeed about them in these the but at-least emperor
τῆς πρὸς τὴν κρείττονα ζωὴν ἐμέμνητο μεταθέσεως, καὶ
the to the better life thought-of change and
τὸν μετασχηματισμὸν ἐζήτει τοῦ βίου· ἡ δέ γε βασιλὶς
the transformation sought of-the life the but at-least empress
ἀγνοοῦσα ὅτι ἔμφυτον αὐτῷ τὸ βούλημα, ἡμᾶς πάντας
not-knowing that inborn in-him the wish us all
μᾶλλον ἢ ἐκεῖνον κατῃτιᾶτο τοῦ σκέμματος· ὡς δ' οὖν
rather than him blamed for-the scheme when and then
κἀμὲ τεθέαται, — "ὀναίμεθά σου, φησὶ, ὁπόσα βούλει
me-too she-saw may-we-profit your she-says as-much-as you-wish
τῆς συμβουλῆς, ὦ φιλόσοφε! ὡς καλὰς δὲ ἡμῖν ἀποδίδως
of-the counsel O philosopher how fine and to-us you-render
τὰς ἀμοιβὰς, μεταθεῖναι σκεψάμενος εἰς τὸν μοναδικὸν
the returns to-change having-planned to the monastic
βίον τὸν αὐτοκράτορα!"
life the autocrat

Ἐγὼ δὲ ἀπωμνύμην αὐτίκα μὴ τοιοῦτον ἂν θυμηθῆναί 82
I but swore-denial at-once not such — to-have-thought
ποτε, ἀλλὰ καὶ τοῦ κειμένου ἐπυνθανόμην εἰ πόθος αὐτῷ
ever but also of-the lying(-man) inquired if desire his
ἐγεγόνει τὸ βούλευμα· ὁ δὲ — "ἀλλ' αὕτη φησὶν (οὕτω
had-been the plan he but but she he-says thus

γὰρ εἰρήκει) στέργουσα τὸν γυναικεῖον τρόπον, ἡμᾶς
for he-had-said cherishing the womanly way us
ἐπέχει τε βουλευομένους τὰ κρείττονα, καὶ πᾶσι μᾶλλον
checks both planning the better(-things) and on-all rather
ἢ ἐμοὶ τὴν γνώμην καταιτιᾶται! — Ναὶ, φησὶ, καὶ
than on-me the purpose blames yes she-says and
ἀναδέχομαι τῷ ἐμῷ τραχήλῳ ὁπόσα σοι διημάρτηται,
I-take-up on-the my neck as-much-as by-you has-been-erred
κἂν μὲν ἀνασταίης, ἔχω δὴ τὸ ζητούμενον καὶ
and-if indeed you-should-rise I-have indeed the(-thing) sought and
ποθούμενον, εἰ δ' οὖν, ἀλλ' ἐγώ σε ἀπολογήσομαι
desired if but then but I for-you shall-answer
τῷ δικαστῇ καὶ θεῷ ὧν διημαρτήκεις αὐτός· καὶ
to-the judge and God for-what you-had-erred yourself and
σοὶ μὲν τὰ πεπραγμένα ἀνέγκλητα εἴη, ἐμὲ δὲ ὑπὲρ
for-you indeed the deeds-done blameless may-be me but for
σοῦ ἡδέως ἂν καὶ σκώληκες διασπάσαιντο, καὶ σκότος
you gladly — both worms may-tear-apart and darkness
τε ἐπικαλύψοι βαθὺ, καὶ πῦρ ἐξώτερον διαφλέξειε! εἶτα
and may-cover deep and fire outer may-burn then
δὴ οὐκ οἰκτείρεις τῆς ἐρημίας ἡμᾶς; ποδαπὴν δὲ καὶ
indeed not do-you-pity for-the desolation us what-sort and also
ψυχὴν ἔχων σαυτὸν μὲν ὑπεξάγεις τῶν βασιλείων, ἐμοὶ
soul having yourself indeed you-withdraw from-the palace to-me
δὲ δυσφορωτάτην ἐγκαταλιμπάνεις χηρείαν, ὀρφανίαν τε
but most-unbearable you-leave widowhood orphanhood and
βαρυτάτην τῇ θυγατρί! καὶ οὐδ' ἀρκέσει ταῦτα ἡμῖν,
heaviest to-the daughter and not-even will-suffice these(-things) for-us
ἀλλὰ δεινότερα διαδέξεται, καὶ μετακομίσουσιν ἡμᾶς χεῖρες,
but more-dreadful will-follow and will-carry-off us hands
ἴσως οὐδὲ φιλάνθρωποι, εἰς ὑπερορίας μακρὰς, τυχὸν
perhaps not-even humane to exiles distant perhaps

δὲ καὶ διαιρήσουσι τὸ βαρύτερον, καὶ ὄψεταί σου τὰ
and even will-divide the heavier(-thing) and will-see your the
φίλτατα αἱμάτων ἀνὴρ καὶ ἐλεεῖν μὴ εἰδώς· καὶ σὺ μὲν
dearest of-blood man and to-pity not knowing and you indeed
ἐπιβιώσεις τῷ μετασχηματισμῷ, ἢ ἀποβιώσεις ἐν καλῷ
will-survive in-the transformation or will-die in good(-state)
ἴσως, ἡμῖν δὲ πικροτέρα τοῦ θανάτου διαμενεῖ ἡ ζωή!"
perhaps for-us but more-bitter than-the death will-remain the life
Ταῦτα μὲν οὖν ἡ βασιλὶς, ἀλλ' οὐκ ἔπειθε λέγουσα· 83
these(-things) indeed then the empress but not persuaded speaking
ἐπεὶ δὲ ταύτης ἀπεγνώκει τῆς συμβουλῆς, — "ἀλλ' ἡμῖν
when but of-this she-had-despaired the counsel but for-us
γε, φησὶ, διάδοχον τῆς βασιλείας τὸν εὐνοϊκώτατόν
at-least she-says successor of-the empire the most-well-disposed
σοι καὶ εὐμενέστατον ποίησον, ὅπως ἂν καὶ σοὶ τὸ
to-you and most-kindly make that — both for-you the
ἀξίωμα συντηρήσειε ζήσαντι, κἀμοί γε ὁπόσα παῖς
dignity he-may-preserve having-lived and-to-me at-least as-much-as son
χρηματίσειε." Ἀνερρώσθη γοῦν ἐπὶ τούτοις ὁ βασιλεὺς,
may-be revived at-any-rate at these the emperor
καὶ ὁ Δοὺξ Κωνσταντῖνος εὐθὺς ἐκείνῳ μετάπεμπτος
and — Doukas Constantine at-once by-him summoned
γίνεται, ἀνὴρ περιφανὴς μὲν καὶ τὰς πρώτας τοῦ γένους
becomes man illustrious indeed and the first of-the lineage
ἔχων ἀρχάς· εἰς γὰρ τοὺς Δούκας ἐκείνους τὸ γένος ἀνέφερε,
having origins to for the Doukai those the lineage traced
τοὺς Ἀνδρονίκους φημὶ καὶ τοὺς Κωνσταντίνους, ὧν
the Andronikoi I-mean and the Constantines of-whom
πολὺς λόγος ἐν τοῖς τῶν ἱστορησάντων γράμμασι τῆς τε
much account in the of-the historians writings of-the both

κατὰ γνώμην ἀκριβείας καὶ τῆς κατὰ χεῖρα γενναιότητος,
in mind exactness and of-the in hand valor
οὐδὲν δὲ ἧττον καὶ ταῖς μετ᾽ ἐκείνους διαδοχαῖς ἐσεμνύνετο.
nothing and less also in-the after them successions it-was-honored
84 Ἀλλὰ ταῦτα μὲν ἐκείνῳ εἰς φιλοτιμίαν ἀρκεῖ, ὁ
but these(-things) indeed for-him for honor suffice the(-one)
δὲ περὶ αὐτοῦ λέγειν προθέμενος Ἀχιλλέα τοῦτον οὐκ
but about him to-speak having-proposed (an)-Achilles him not
ἀπεικότως ἐρεῖ· ὥσπερ γὰρ τῷ ἥρωϊ τούτῳ μεγάλη
unreasonably will-call as for for-the hero this great
μὲν ἡ ἀρχὴ τοῦ γένους, Αἰακὸς γὰρ ὁ πάππος, ὃν ἐκ
indeed the origin of-the lineage Aeacus for the grandfather whom from
Διὸς οἱ μῦθοι γεννῶσι, καὶ Πηλεὺς δὲ ὁ πατὴρ ὃν οἱ
Zeus the myths beget and Peleus too the father whom the
τῶν Ἑλλήνων λόγοι ἐξαίροντες τῇ Θέτιδι, θεὰ δὲ αὕτη
of-the Greeks tales exalting — with-Thetis goddess and she
θαλαττία, συγκατευνάζουσιν, ἀλλ᾽ ὑπὲρ τὰς τῶν πατέρων
of-the-sea bed but beyond the of-the fathers
δόξας ἀποχρῶντα τὰ οἰκεῖα πεφύκασιν ἔργα, καὶ οὐ
glories sufficing the own are deeds and not
μᾶλλον ὁ Ἀχιλλεὺς παρὰ τῶν γεννησαμένων τετίμηται,
more — Achilles by the begetters has-been-honored
ἀλλ᾽ ἐκεῖνοι παρὰ τοῦ παιδὸς τὸ σεμνὸν ἀποφέρονται, οὕτω
but they from the son the dignity carry-off thus
δὴ καὶ τῷ Δουκὶ Κωνσταντίνῳ, ὃν ἤδη πρὸς τὴν
indeed also — for-Doukas Constantine whom already to the
βασίλειον ἀρχὴν προβιβάζειν ὁ λόγος βούλεται, λαμπρὰ
imperial rule to-advance the account wishes splendid
μὲν καὶ τὰ παρὰ τοῦ ἄνω γένους, λαμπρότερα δὲ
indeed also the(-things) from the ancestral lineage more-splendid but
καὶ τὰ παρὰ τῆς ἰδίας φύσεώς τε καὶ προαιρέσεως.
also the(-things) from the own nature both and choice

Ἀλλ᾽ ὁ μὲν περὶ τῆς βασιλείας λόγος ἀναμεινάτω· τὸν 85
but the indeed about the reign account let-wait the
δέ γε ἰδιώτην βίον οὗτος ἔτι τελῶν, τὸ μὲν ὅσον
but at-least private life he still living the(-part) indeed as-far-as
εἰς ἀρχικὴν γνώμην καὶ γένους λαμπρότητα καὶ τοῖς
in ruling mind and of-lineage splendor even with-the
κρείττοσι τῶν βασιλέων ἀντήριζε, τὸ δ᾽ ὅπως ἂν
better of-the emperors vied the(-part) but how —
εὐλαβῶς βιῴη καὶ μήτε γείτοσι φορτικὸς ὀφθείη ποτὲ,
prudently he-might-live and neither to-neighbors burdensome might-appear ever
μήτε τινὸς καθυπερηφανεύσοιτο, τοῖς τε βασιλεύσασι
nor over-anyone might-act-haughtily to-the and having-reigned
προχειρότατος εἰς ὑπακοὴν φαίνοιτο, ὑπὲρ τ᾽ ἄλλα πάντα
most-ready for obedience might-appear beyond and other all
ἐπραγματεύετο, καὶ ἵνα μηδὲ κατὰ τὴν οἰκείαν αὐγὴν
he-labored and that not-even according-to the own light
νομίζοιτο, ὥσπερ τις ἥλιος νέφος ἑαυτοῦ προεβάλλετο.
he-might-be-judged like some sun cloud before-himself put
Λέγω δὲ ταῦτα οὐχ ἑτέρων ἀκηκοὼς, ἀλλ᾽ αὐτὸς περὶ 86
I-say and these(-things) not from-others having-heard but myself about
πάντων αἰσθήσεσιν αὐταῖς καὶ γνώμαις ἀκριβωσάμενος·
all with-senses themselves and judgments having-verified
ὁ μὲν γὰρ σεμνυνέσθω πολλοῖς καὶ καλοῖς
the(-one) indeed for let-pride-himself on-many and fine
κατορθώμασι, ἐμοὶ δὲ ἓν τοῦτο ἀντὶ πάντων ἀρκεῖ,
achievements for-me but one this instead-of all suffices
ὅτι τοιοῦτος ὁ θαυμάσιος οὗτος ἀνὴρ καὶ ὢν καὶ
that such the wonderful this man both being and
δοκῶν, τῶν μὲν ἄλλων ἧττον ἐφρόντιζεν, ἐμοὶ δὲ, εἴτε
seeming of-the indeed others less cared to-me but whether
τι καθεωρακὼς ἐν ταῖς γνώμαις τῶν γε λοιπῶν
something having-observed in the judgments than-the at-least rest

πλέον, εἰ σύνεσιν, εἴτε τῷ ἤθει μου ἀρεσκόμενος,
more if intelligence or with-the character my pleased
οὕτω προσέκειτο καὶ οὕτω διαφερόντως τῶν ἄλλων
so was-attached and so exceptionally beyond-the others
ὑπερηγάπα, ὡς ἐξηρτῆσθαί μου καὶ τῆς γλώττης καὶ
loved-dearly as to-hang on-my both the tongue and
τῆς ψυχῆς, καὶ αὐτῷ δή μοι πιστεύειν τὰ τιμιώτατα.
the soul and to-very indeed me to-entrust the most-precious(-things)
87 Ἐβούλετο μὲν οὖν κεκρύφθαι ἐφ' ἑαυτοῦ, καὶ τῶν
he-wished indeed then to-be-hidden by himself and the
ὑπερηφάνων δεινῶς κατεφρόνει ἀρχῶν, ἀτημελέστερόν
proud terribly despised offices more-carelessly
τε ἠμφίεστο καὶ ἀγροικότερον διεσκεύαστο, ἀλλ' ὥσπερ
both he-was-dressed and more-rustically was-equipped but as
αἱ καλαὶ τὴν ὥραν ὅσῳ μᾶλλον ἐκ τοῦ τυχόντος
the beautiful in-the bloom as-much-as more from the chance
κόσμου προφαίνονται, τοσοῦτον ἐν τῷ προβεβλημένῳ
adornment they-appear so-much in the put-before
νέφει τηλεφανέστερον διαυγάζουσι, καὶ ἔστιν αὐταῖς ὁ
cloud more-conspicuously shine-through and is for-them the
ἀμελὴς κόσμος καλλωπισμὸς ἀκριβέστατος, οὕτω δὴ
careless adornment beautification most-exact thus indeed
κἀκεῖνον οὐκ ἔκρυπτε μᾶλλον τὰ ἀφανῆ περιβλήματα
him-too not hid rather the obscure garments
ταῦτα ἢ λαμπρότερον ἀπεδείκνυε. Πᾶσαι γοῦν ἐπ'
these than more-brilliant showed all at-any-rate upon
αὐτὸν ἐπέπτοντο γλῶσσαι καὶ εἰς βασιλείαν παρέπεμπον,
him flew tongues and to empire escorted
αἱ μὲν ὥσπερ χρησμολογοῦσαι τὴν πρόρρησιν, αἱ
some indeed as-if uttering-as-oracle the prediction others
δὲ τὸ εἰκὸς ἐκείνῳ λέγουσαί τε καὶ σώζουσαι· ἐδεδίει
and the fitting for-him saying both and keeping feared

γοῦν οὗτος οὐ τοὺς ἀπεχθανομένους αὐτῷ, ἀλλὰ
at-any-rate he not the(-ones) being-hostile to-him but
τοὺς προτεθειμένους, καὶ πᾶσαν μὲν αὐτοῖς πρὸς αὐτὸν
the(-ones) having-preferred(-him) and every indeed for-them to him
φέρουσαν ὁδὸν ἀπέφραττεν, οἱ δὲ μαχιμώτατοί τε ἦσαν
leading road he-blocked they but most-combative both were
ἢ τολμητίαι καὶ τῶν ἐμποδίων κατατολμῶντες.
or daring and the obstacles braving
Τοσοῦτον δὲ αὐτῷ τὸ περιὸν τῆς εὐλαβείας τε καὶ 88
so-great and in-him the surplus of-the prudence both and
συνέσεως, ὥστε ὁπηνίκα κρίσις ἐγεγόνει τοῦ τῶν
intelligence that when choice had-been-made of-the of-the
Στρατιωτῶν καταλόγου, καὶ τῶν ἄλλων ὁ Κομνηνὸς
Soldiers roll and before-the others — Komnenos
προτετίμητο, αὐτὸς δὴ οὗτος ὁ ἐπὶ τῷ κράτει κριθεὶς,
had-been-preferred himself indeed this the(-one) for the sovereignty chosen
ἐκείνῳ τῆς ἡγεμονίας παρεχώρει μετὰ τὴν κρίσιν, ἀλλ'
to-him of-the dominion ceded after the choice but
ἀπεωθεῖτο καὶ γνώμῃ καὶ χειρὶ, οὔπω δὴ καὶ τοιαύτην
pushed-away both in-mind and hand not-yet indeed even such
τὴν κρίσιν προσγενομένην αὐτῷ, καὶ οὐδ' ἂν ὅλως οἱ
the choice having-come to-him and not-even — at-all the(-ones)
τηνικαῦτα συνελθυθότες ὡμογνωμονήκεσαν εἰς τὸ ἔργον,
then having-come-together would-have-agreed to the deed
εἰ μὴ μέσον οὗτος παρεντιθεὶς τῷ καθ' ἑαυτὸν ἀξιώματι
if not middle he inserting with-the by himself dignity
ξυνεδέσμει τὴν βουλήν· καὶ τὸ ξύμπαν δὲ στράτευμα ἐπὶ
bound-together the plan and the whole too army on
δυοῖν ὥσπερ ἀγκύραιν ὥρμει, μείζονι καὶ ἐλάττονι, ἢ
two as-it-were anchors rode greater and lesser or
μᾶλλον ἐλάττονί τε καὶ μείζονι· εἰ γὰρ ὁ μὲν Ἰσαάκιος
rather lesser both and greater if for — indeed Isaac

βασιλεὺς προκεχείριστο, τούτῳ δὲ ἡ τοῦ Καίσαρος
emperor had-been-chosen for-him but the of-the Caesar
ἐλάττων τιμὴ κατεπήγγελτο, ἀλλὰ τὸ ὑπερέχον αὐτῷ τοῦ
lesser honor had-been-promised but the preeminence his of-the
γένους καὶ τὸ ἐρασμιώτατον ἰδίωμα τῆς ψυχῆς εἰς εὔνοιαν
lineage and the most-lovable trait of-the soul to goodwill
ἀφείλκετο τοὺς πολλούς· καὶ ἵνα τις ἐπὶ πλέον τὸν ἄνδρα
drew the many and that one for more the man
θαυμάσειεν, ἐπειδή περ εἰς βασιλείαν ἡ τυραννὶς ἔληξε,
might-admire when indeed into empire the tyranny ended
καὶ ὁ Ἰσαάκιος ἐπὶ τοῦ θρόνου καθῆστο, ὁ δὲ ἐξίστατο
and — Isaac on the throne sat he but stood-aside
τούτῳ καὶ τῆς δευτέρας τιμῆς, δέον καὶ τῆς πρώτης
for-him even from-the second honor it-being-fitting even the first
ἀμφισβητεῖν· τοσοῦτον τὸ εἰς ἦθος ἀσύγκριτον τοῦ
to-dispute so-great the in character incomparable of-the
ἀνδρός· ἐγὼ δὲ τοῦτο τοῖς γενομένοις προστίθημι, ὅτι θεῖον
man I and this to-the events add that divine
ἄρα ἦν καὶ τὸ μὴ τότε γενόμενον καὶ τὸ νῦν γεγονὸς,
after-all was both the not then having-happened and the now having-happened
ἵνα μὴ ἐκ τυραννικῶν προθύρων, ἀλλ' ἐξ ἐννόμων
that not from tyrannical porches but from lawful
ἀδύτων εἰς τὴν τῆς βασιλείας ἀναχθείη περιωπήν.
sanctuaries to the of-the empire he-might-be-raised eminence

Περὶ τῆς εἰσελεύσεως τοῦ Δουκὸς εἰς τὸν Κομνηνὸν καὶ προχειρίσεως, καὶ περὶ τῆς τῶν συγγενῶν ἀξιώσεως

XVII · THE CHOICE OF DOUKAS

Isaac entrusts Doukas with the empire and with his wife, daughter, brother, and nephew, saying he has long judged him the more kingly; all present applaud through tears. Psellos claims a hand in bringing Doukas safely to power and promises to narrate the new reign.

Ὡς δ᾽ οὖν τηνικαῦτα μετεκέκλητο τὰς ἐσχάτας ὡς ἐδόκει 89
when and then at-that-time he-had-been-summoned the last as it-seemed
ἀναπνοὰς τῷ Κομνηνῷ ἀναπνέοντι, οὗτος δὲ ἐρυθριάσας καὶ
breaths — by-Komnenos breathing he and having-blushed and
ὑποπλησθεὶς τὰ ὄμματα τῆς συνήθους αἰδοῦς, εἱστήκει
having-been-filled in-the eyes with-the usual modesty stood
κατὰ τὸ εἰωθὸς περιστείλας τὼ χεῖρε· ὁ δὲ ἀκριβέστερον
according-to the custom having-folded the two-hands he but more-exactly
συλλέξας τὸν νοῦν, — "τῶν περιεστηκότων, ἔφησε,
having-collected the mind of-the(-ones) standing-around said
τουτωνὶ (δείξας τὸ συγγενὲς χειρὶ), ὁ μὲν ἀδελφὸς,
of-these having-pointed-to the kindred with-hand the(-one) indeed brother
ὁ δὲ ἀνεψιὸς, καὶ τούτων δὴ τῶν φιλτάτων
the(-other) but nephew and of-these indeed the dearest
ἡ μὲν ὁμόλεκτρος καὶ βασίλισσα, ἡ δὲ θυγάτηρ
the(-one) indeed bedfellow and empress the(-other) but daughter
μονογενὴς οὕτως εἰπεῖν, ἀλλά σε ὁ ἐμὸς τρόπος μᾶλλον
only-born thus to-say but you the my way more
αὐτῶν οἰκειοῦται, καὶ ἡ σὴ γνώμη τὴν φύσιν νικᾷ, καί
than-them makes-kin and the your mind the nature conquers and
σοι τὴν βασιλείαν καὶ αὐτὰ δὴ τὰ φίλτατα πιστεύω,
to-you the empire and very indeed the dearest(-ones) I-entrust

οὐδὲ τούτων ἀκόντων, ἀλλὰ καὶ πάνυ βεβουλευμένων·
not-even these unwilling but even very having-resolved
τὸ δὲ καινὸν τουτὶ πρᾶγμα οὐ τήμερον ἤρξατο, οὐδὲ ἡ
the but new this matter not today began nor the
περίστασις τοῦ νοσήματος εἰς τοῦτό με συνηνάγκασεν, ἀλλὰ
crisis of-the illness to this me compelled but
καὶ εἰς βασιλείαν κριθεὶς, αὐτόν σε καλλίονα ὑπελάμβανον
even for empire chosen yourself you finer I-thought
καὶ προσήκοντα μᾶλλον τῷ σχήματι, καὶ μετὰ ταῦτα
and suiting more to-the rank and after these(-things)
δὲ τοῖς ἄλλοις σε κατὰ μέρος συγκρίνων ἁπάσαις ψήφοις
too with-the others you by part comparing by-all votes
τῶν πάντων ἐτίθουν βασιλικώτερον· τὸ μὲν οὖν ἐμὸν ὅπη
than-the all I-placed more-kingly the indeed then my where
κατέληξε καὶ εἰς βραχείας ἀναπνοὰς ἡ ζωὴ περιείληπται,
has-ended and into short breaths the life has-been-confined
τὸ δ' ἐντεῦθεν σύ τε μεταχειριεῖς τὸ κράτος καὶ τὰ
the and hence you both will-handle the sovereignty and the(-things)
τῆς ἀρχῆς θήσεις καλῶς, ἄνωθεν μὲν κεκριμένος εἰς τοῦτο,
of-the rule will-set well from-above indeed chosen for this
νῦν δὲ τὴν ἡγεμονίαν παρειληφώς· τὴν δέ γε γυναῖκα
now and the dominion having-received the but at-least wife
καὶ τὸ θυγάτριον, τόν τε ἀδελφὸν καὶ τὸν ἀνεψιὸν,
and the little-daughter the both brother and the nephew
τὰς μὲν ἀνέπαφόν σοι παρακαταθήκην πιστεύω,
the(-women) indeed untouched to-you deposit I-entrust
τῶν δὲ ἐγκελεύομαι φροντίζειν καὶ ἐπιμελεῖσθαι."
of-the(-men) but I-bid to-take-thought and to-care
90 Ἐπὶ τούτοις αἴρεται κρότος δάκρυσι σύμμικτος, καὶ τὸ
upon these rises applause with-tears mixed and the
περιεστηκὸς ἐπευφήμησε, καὶ ὁ πρὸς τὴν βασιλείαν
standing-around acclaimed and the(-one) for the empire

κριθεὶς, ὥσπερ ἐν ἱεροῖς τελούμενος καὶ μυσταγωγούμενος
chosen as-if in rites being-initiated and being-led-into
τὰ θαυμάσια, σὺν αἰδοῖ καὶ κόσμῳ παρειστήκει τῷ
the wonders with modesty and decorum stood-by the
αὐτοκράτορι. Τὰ μὲν οὖν τοῦ κράτους τῷ ἀνδρὶ
autocrat the indeed then of-the sovereignty for-the man
προοίμια τοιαῦτα, τὰ δέ γε μετὰ ταῦτα οὐχ
preludes such the(-things) but at-least after these(-things) not
ἁπλῆν ἔχει τοῦ λόγου τὴν πρόοδον, ἀλλὰ τὰ μὲν
simple has of-the account the progress but some(-things) indeed
αὐτῷ εὐθύτατα συμβεβήκοι, τὰ δὲ πλάγια ἢ ἀντίρροπα.
for-him most-straight may-have-turned-out others but oblique or counterpoised
Εἰ δέ τι τούτῳ καὶ παρ' ἡμῶν ἐγεγόνει, ἐγὼ μὲν 91
if and anything for-him also from us had-come I indeed
οὐδὲν ἂν εἴποιμι, μὴ γὰρ τοσοῦτον καυχήσαιμι, αὐτὸς
nothing — would-say not for so-much may-I-boast himself
δ' ἂν εἰδείη ὁ βασιλεὺς, ὡς πρὸς μὲν τὸ ἀντίρροπον
but — would-know the emperor that against indeed the counterpoised
ἀντίρροπος ἦν, συνεπεκούρουν δὲ φερομένοις τοῖς πράγμασι
counterpoised I-was I-helped and to-moving the affairs
κατ' ὀρθὸν, καὶ τοσοῦτόν μοι τὸ περιὸν τῆς εἰς τὸν
on straight and so-great in-me the surplus of-the toward the
ἄνδρα προθυμίας καὶ διαθέσεως, ὅτι τῶν πραγμάτων
man zeal and affection that the affairs
ἤδη κυμαινόντων αὐτῷ, αὐτὸς τῶν οἰάκων ἐπιλαβόμενος,
already tossing for-him myself the tillers having-grasped
καὶ τὰ μὲν ἐνδιδοὺς, τὰ δὲ ἀντιτείνων, ἀκριβῶς
and some(-things) indeed slackening others but pulling-against exactly
τοῦτον εἰς τοὺς βασιλείους λιμένας κατήνεγκα.
him into the imperial harbors I-brought-down

92 Ὁποῖον δὲ αὐτῷ καὶ τὸ κράτος καὶ ὁ τῶν πράξεων
what-sort and his both the sovereignty and the of-the deeds
χαρακτὴρ, τίνας τε γνώμας συνεισηνέγκατο τῇ ἀρχῇ, καὶ
character what and purposes he-brought to-the rule and
οἵας ἀρχὰς τεθεικὼς ἐφ' οἷα τέλη διέδραμεν, οἷός τε
what-sort beginnings having-laid to what-sort ends ran-through what-sort and
αὐτῷ ὁ σκοπὸς τῆς ἡγεμονίας, καὶ τίνα μὲν κατώρθωσεν
his the aim of-the dominion and what indeed he-achieved
ἀκριβῶς, τίνα δὲ αὐτὸς πρῶτος ἐφεῦρε, καὶ τίνα μὲν αὐτῷ
exactly what but himself first invented and what indeed his
θαύματος ἄξια, τίνα δὲ οὐ τοιαῦτα, καὶ ὅπως μὲν τὰ
of-wonder worthy what but not such and how indeed the
πολιτικὰ μετεχειρίσατο πράγματα, ὅπως δὲ τῷ στρατῷ
some ditch as he-said thicket crept-under some when and one
τῶν διωκόντων τεθέαται, ἀνελεῖν μὲν ὥρμησεν, ὡς δὲ
of-the pursuers saw(-him) to-kill indeed rushed when but
δακρύοντα εἶδε, τὴν ἐσθῆτα ἀποδυσάμενος καὶ γυμνὸν ὑπὸ
weeping he-saw the clothing having-stripped and naked under
τὴν λόχμην ἀφεὶς ἄπεισιν· εἶτα δὴ ἄλλος γυμνὸν αὖθις
the thicket having-left goes-off then indeed another naked again
ἰδὼν ὥρμησεν ἀνελεῖν, ὁ δὲ, "ἀλλ' εἴ μου φείσειας,
having-seen rushed to-kill he but but if me you-spare
ἔφησε, καὶ εἰς τόνδε τὸν στρατηγὸν ἀπαγάγοις (τοὔνομα
said and to this the general you-lead the-name
προσειπὼν), ἐμπλήσει σοι δώρων τὴν δεξιάν." Ὡς δὲ
having-named he-will-fill your with-gifts the right when and
διϊόντα ἐγνώρισεν ὁ Ἀνδρόνικος, δεύτερον τοῦτο ποιεῖται
passing-through recognized — Andronikos second this makes
εὐτύχημα, καὶ τὸν ἄνδρα, στρατηγῷ πρέπον γενναίῳ,
good-fortune and the man for-a-general fitting noble
ἐνδύσας τε καὶ κοσμήσας ἐν ἀδέσμῳ συνεῖχε φυλακῇ.
having-dressed both and having-adorned in unfettered held custody

41 Τὴν μὲν οὖν περὶ αὐτὸν χεῖρα ὁ Διογένης ἀπεγνωκὼς,
the indeed then around him force — Diogenes having-despaired-of
Περσικὴν συμμαχίαν ἤλπιζε πρὸς αὐτὸν αὐτίκα ἀφίξεσθαι·
Persian alliance hoped to him at-once to-be-going-to-come
ἔνθεν τοι καὶ τὸν περὶ αὐτὸν λαὸν ἐπερρώννυε καὶ ἐλπίδας
hence surely also the around him people he-encouraged and hopes
ἑτοίμους ὑπέτεινεν· ἀλλ' οἷς ἐθάρρει καὶ οἷς τὰ τοῦ
ready held-out but in-whom he-trusted and to-whom the of-the
φρουρίου κλεῖθρα ἐπίστευεν ἐκείνοις πρῶτον ἁλώσιμος
fort bars he-entrusted by-those first captive
γίνεται· οὗτοι γὰρ τῷ ἡμετέρῳ συνθέμενοι στρατηγῷ
becomes these for with-the our having-agreed general
καὶ πίστεις τοῦ μὴ παθεῖν εἰληφότες, τὰς εἰσόδους
and pledges of-the not to-suffer having-received the entrances
ἀναπετάσαντες, πάροδον τοῖς ἡμετέροις δεδώκασι, καὶ
having-thrown-open passage to-the our gave and
ἐπ' αὐτὸν τὸν οἶκον οὗ ὁ Διογένης ἐσκήνου ἀπάγουσιν·
to very the house where — Diogenes lodged lead(-them)
ὁ δὲ εἱστήκει δεινὸν καὶ ἐλεεινὸν θέαμα, τὰς ἐλπίδας
he but stood dreadful and pitiable sight the hopes
ἀπεγνωκὼς, καὶ τὰς χεῖρας δεσμήσας ὥσπερ ἀνδράποδον,
having-despaired and the hands having-bound like slave
καὶ ἐπὶ τοῖς κατασχοῦσιν ὅ τι δρᾷν βούλοιντο θέμενος,
and on the captors what — to-do they-should-wish having-placed
εἰ δέον μελανειμονῆσαι εὐθὺς, καὶ τὸ κάλυμμα τῆς
if it-were-needful to-wear-black at-once also the covering of-the
κεφαλῆς ἀφελόμενος ἐδίδου τῷ βουλομένῳ τὰς τρίχας
head having-removed gave to-the(-one) wishing the hairs
τεμεῖν· σχεδιάσαντες δὲ οἱ παρατυχόντες αὐτῷ τὴν
to-cut having-improvised and the(-ones) present for-him the
τοῦ βίου μετάθεσιν, ἐξάγουσι τῷ φρουρίῳ καὶ πρὸς
of-the life change lead-out from-the fort and to

τὸν Ἀνδρόνικον μεθ᾽ ὅσης ἂν εἴποι τις τῆς περιχαρίας
— Andronikos with as-great — might-say anyone the joy
ἀπάγουσιν· ὁ δὲ οὐδὲν πρὸς τοῦτον σοβαρευσάμενος, ἀλλὰ
lead he but nothing toward him having-acted-haughtily but
καὶ τῆς τύχης οἰκτείρας, καὶ δεξιὰν ἐμβάλλει καὶ εἰς τὴν
also for-the fortune having-pitied both right-hand gives and into the
ἑαυτοῦ ἐπάγει σκηνὴν, καὶ τραπέζης λαμπρᾶς κοινωνεῖ.
his-own brings tent and table splendid shares
Τὸ μὲν οὖν μέχρι τοῦδε εὔδρομος ἡμῖν ὁ λόγος, καὶ 42
the indeed then until this well-running for-us the account and
διὰ λείας φέρων καὶ βασιλικῆς τῆς ὁδοῦ, ταῦτα δὴ τὰ
through smooth going and royal the road these indeed the
θεολογικὰ ῥήματα· τὸ δ᾽ ἐντεῦθεν ὀκνεῖ περαιτέρω χωρεῖν
theological words the but from-here hesitates farther to-go
καὶ διηγήσασθαι πρᾶξιν, ἣν οὐκ ἔδει μὲν γενέσθαι,
and to-narrate deed which not was-needful indeed to-happen
ἵνα δὴ παρὰ βραχὺ ταὐτολογήσας ἐρῶ, ἔδει δὴ
that indeed by little having-repeated I-may-say was-needful indeed
γενέσθαι παντάπασι, τὸ μὲν διὰ τὴν εὐσέβειαν καὶ
to-happen altogether the(-one) indeed because-of the piety and
τὴν πρὸς τὸ δεινὸν εὐλάβειαν, τὸ δὲ διὰ τὴν τῶν
the toward the dreadful caution the(-other) but because-of the of-the
πραγμάτων περίστασιν καὶ τὴν τοῦ καιροῦ περιπέτειαν·
affairs crisis and the of-the moment reversal
οἱ γὰρ περὶ τὸν βασιλέα εὐνοϊκώτεροι δείσαντες περὶ
the(-ones) for around the emperor more-loyal having-feared about
τῷ Διογένει, μὴ διαμηχανήσαιτό τι, καὶ πάλιν ἀφορμὴ
— Diogenes lest he-might-contrive something and again occasion
πραγμάτων τῷ βασιλεῖ γένοιτο, τὸ σκέμμα τούτῳ
of-troubles for-the emperor might-be the plan from-him

συγκαλυψάμενοι, ἐντέλλονταί τε διὰ γραμμάτων τῷ ἐπὶ
having-concealed enjoin and by letters to-the(-one) at
τοῦ καιροῦ δυναστεύοντι ἐκκόψαι τούτῳ τοὺς ὀφθαλμούς.
the time ruling to-put-out his the eyes

43 Ὃ δὴ καὶ γενόμενον ἠγνοεῖτο τῷ βασιλεῖ· καὶ οὐ
which indeed also having-happened was-unknown to-the emperor and not
θωπευτικὴν ποιοῦμαι τὴν ἱστορίαν, ἴστω θεὸς, ἀλλ'
flattering I-make the history let-know God but
ἀληθεστάτην παντάπασιν, ὅθεν καὶ πλείω ἀφεῖκεν ἐπὶ τῷ
most-true altogether whence also more he-shed over the
πράγματι γνοὺς ὕστερον δάκρυα ἢ ὅσα ἐκεῖνος
deed having-learned later tears than as-many-as he
πρὸ τοῦ παθεῖν κατήνεγκέ τε καὶ ἀπωδύρετο· ἀλλ' οὐδ'
before the to-suffer shed both and lamented but not-even
ὅτε ἠγγέλθη τῷ βασιλεῖ τοῦ Διογένους ἡ ἅλωσις, ἢ
when was-reported to-the emperor — of-Diogenes the capture either
σκίρτημά τι ἐνεφάνισεν, ἢ ἄλλο τι χαρμονῆς εἶδος
leap any showed or other any of-joy form
τοῖς περὶ αὐτὸν ἐπεδείξατο, ἀλλ' εἰ μὴ τὰ παρὰ τῶν
to-the(-ones) around him displayed but if not the from the
πολλῶν εὐλαβεῖτο ὀνείδη, ἐσκυθρώπαζεν ἂν μέχρι πολλοῦ.
many be-was-wary-of reproaches would-have-looked-sullen — until long
Ὁ μὲν οὖν καὶ τοὺς ὀφθαλμοὺς ἐκκοπεὶς εἰς ὃ ἱδρύσατο
he indeed then also in-the eyes blinded to which he-founded
φροντιστήριον ἐν τῇ νήσῳ ᾗ Πρώτη ὄνομα ἐπανάγεται,
monastery in the island to-which Prote name is-brought-back
ἔνθα βραχύ τι ἐπιβιοὺς τελευτᾷ οὔπω ἔτη δύο τὴν βασίλειον
where little some having-lived dies not-yet years two the imperial
ἀρχὴν κατασχὼν, κρατεῖ δὲ καθαρῶς τῆς ἀρχῆς ὁ Μιχαήλ.
rule having-held rules and cleanly the rule — Michael

Βασιλεία Μιχαὴλ τοῦ Δούκα

XXI · MICHAEL DOUKAS

Psellos praises the reigning Michael Doukas as divine in character: patient with offenders, learned in finance, chaste, devoted to philosophy, rhetoric, and the sciences, and steady through the storms in east and west. He extols the emperor's favor to the author, his love for his wife and child, the independence he grants his brothers, his reliance on his uncle the Caesar, and the humility of the notes on his character he supplied for this history.

Ἱστορεῖν τὸν αὐτοκράτορα Μιχαὴλ τοῦ Δούκα βουλόμενος, 1
to-record the autocrat Michael of-the Doukas wishing
ἢ μᾶλλον σκιαγραφεῖν ὅσον ἐπὶ τοῦ λόγου ἐπιτομῇ, τοῦτο
or rather to-sketch as-far-as in the account in-summary this
πρῶτον τὸν ἀκροατὴν παραινοῦμαι μὴ κρείττονας τοὺς
first the hearer I-advise not superior the
λόγους ἡγήσασθαι τῶν ἠθῶν ἐκείνου καὶ πράξεων, ἀλλ᾽
words to-think than-the characters his and deeds but
ὑστεροῦντας παρὰ πολύ· ἐγὼ δὲ ὅπερ πολλάκις πάσχω
falling-short by much I and what often I-experience
ἐκεῖνον ὁρῶν καὶ θαυμάζων, παραπλήσιον πάθος κἂν τῷ
him seeing and admiring similar feeling also in-the
γράφειν ἐκεῖνον ὑφίσταμαι· οὐ γὰρ ἔχω ὅπως θαύματος
to-write him I-undergo not for I-can how wonder
ἐπέκεινα τὸν ἄνδρα ποιήσομαι, καὶ μή τις διαπιστοίη
beyond the man I-shall-make and not anyone should-distrust
τῷ λόγῳ ἢ ἐς ὑποψίαν φέροι τὰ γραφησόμενα, ὅτι
the account or to suspicion bring the(-things) to-be-written because
ἐπὶ ζῶντι τῷ βασιλεῖ ταῦτα γεγράφαται· τούτου γὰρ
in living the emperor these(-things) have-been-written of-this for
ἕνεκα καὶ τὴν ἱστορίαν πεποίημαι, ἵν᾽ ἔχοι τις
for-sake also the history I-have-made that might-be-able anyone

εἰδέναι ὅτι ἔστι τοι ἦθος ἀνθρώπου θείας ἄντικρυς
to-know that there-is surely character of-man of-divine outright
μοίρας καὶ περαιτέρω τῆς ἐγνωσμένης φύσεως.
portion and beyond the known nature

2 Ἀπορῶν δὲ ὅ τι πρῶτον εἴπω τῶν ἐκείνου, τοῦτο
being-at-a-loss and what — first I-should-say of-the his this
τῶν πάντων προτίθημι· ὅτι μηδεὶς αὐτὸν τῶν ὑπὸ χεῖρα
of-the all I-put-first that no-one him of-the under hand
διαλανθάνων, εἴ τε τῶν φαύλων, εἴ τε τῶν περί τι
escaping-notice whether both of-the bad or and of-the in something
σπουδαίων καὶ ἀγαθῶν, οὐδεὶς κακῶς ἤκουσε παρ' αὐτοῦ,
earnest and good no-one ill heard from him
οὐδὲ ὕβρισται δημοσίᾳ, οὐδ' ἐπί τῳ κακῷ ἀπέωσται·
nor has-been-insulted publicly nor for some offense has-been-dismissed
ἀλλ' εἰ καί τις αὐτῶν ἀπαναισχυντεῖν πρὸς τοῦτον
but if even anyone of-them to-be-shameless toward him
αἱροῖτο, ὁ δὲ ἡττᾶσθαι μᾶλλον τῆς ἀναιδείας τοῦ ἀνδρὸς
should-choose he but to-be-beaten rather by-the impudence of-the man
ἕλοιτο ἢ ἐς μέσους ἐλέγχειν. Τὸ δὲ ὑπερβάλλον, ὅτι
would-choose than in public to-expose(-him) the but surpassing(-thing) that
καὶ φωράσας ἐνίους, καὶ μάλιστα τῶν περὶ σῶμα φυλάκων
even having-detected some and especially of-the about body guards
καὶ οἷς ἑαυτὸν πεπίστευκεν, ἐπὶ τῷ κακῷ δραμόντας
and to-whom himself he-has-entrusted to the evil having-run
ἐπ' αὐτὸν, οὔτε ἤλεγξεν, οὔτε φοβήσας διέσεισε·
against him neither he-exposed nor having-frightened shook
πολλοὺς δὲ καὶ ἐπ' αὐτοφώρῳ ἐξαιροῦντάς τι τῶν
many and also in the-act taking-out something from-the
βασιλικῶν κιβωτίων ἑλὼν, εἶτ' ἀφῆκε, μὴ θορυβήσας,
imperial chests having-caught then released not having-raised-alarm
μηδὲ τὴν γνώμην αὐτοῖς ὀνειδίσας· τελεώτατος δὲ τὴν
nor the intent to-them having-reproached most-complete and in-the

φρόνησιν ὢν, καὶ τῶν πραγμάτων ἐπιστήμην ἀπὸ τῆς περὶ
wisdom being and of-the affairs knowledge from the about
ταῦτα συνεχοῦς ἐπιμελείας λαβὼν, πᾶσάν τε φόρου
these(-things) continual care having-gained every both of-tax
συντέλειαν διηκριβωκὼς, συντάξεις τε καὶ πρυτανεῖα, καὶ
assessment having-mastered payments both and fees and
ἐς ὅσα φέροιτό τις τῶν δημοσίων καὶ ἀφ' ὅσων
into as-much-as might-be-brought any of-the public(-funds) and from as-much-as
ἐκχέοιτο αὖθις εἰς τὰ δημόσια, τήν τε τῶν στατήρων
might-be-poured-out again into the public(-funds) the both of-the coins
ἐξεργασίαν καὶ τὴν τῆς στάθμης ἰσορροπίαν καὶ τὰς ῥοπὰς
minting and the of-the scale balance and the turns
καὶ τὰ λείμματα, τήν τε χρυσῖτιν ὅπως ἐργάζοιτο καὶ τῶν
and the remainders the and gold-ore how it-is-worked and of-the
χρυσῶν χαρακτήρων ὁπόσα ἕκαστος μέτρα τῆς καθαρᾶς
gold stamps how-many each measures of-the pure
ὕλης ἔχοι· καὶ ἵνα μὴ καθ' ἕκαστον λέγω, πάντα ἐς
matter has and that not by each I-speak all to
ἄκρον ξυνειληφὼς, ἔπειτα τοῖς περὶ ἕκαστον ἐπιστήμοσιν
peak having-grasped then with-the about each experts
ὁμιλῶν, αὐτοῖς ἂν τὴν ἡττῶσαν ἐπὶ πᾶσιν ἐνέγκοι, ἢ
conversing on-them — the defeating(-vote) in all he-would-bring or
τοὺς ἐπὶ τούτοις πραγματευομένους τὴν δόξαν ἀφέλοιτο.
the(-ones) in these busied the repute would-take-away
Ἄρτι δὲ πρώτως ἀνθοῦντα ἔχων τὸν ἴουλον καὶ ταῖς 3
just and first blooming having the down and with-the
θριξὶν ἤδη πυκάζων τὴν παρειὰν, οὐδὲν τῶν πρεσβυτέρων
hairs already thickening the cheek nothing from-the elders
διενηνόχει τὴν σύνεσιν· οὔτε γὰρ ἡδοναῖς ἐδεδώκει,
had-differed in-the understanding neither for to-pleasures had-given(-himself)
οὔτε γαστρὸς ἥττηται, οὔτε κωμάζειν ἀπαρακαλύπτως
nor by-belly was-beaten nor to-revel openly

εἵλετο· ἐρώτων δὲ τοσοῦτον ἀπέσχετο, ὥστε μηδὲ εἰδέναι
chose from-loves and so-much abstained that not-even to-know
τοὺς πλείους καὶ ὅσοι πόρρω τοῦ νομίμου τυγχάνουσι·
the most and as-many-as far from-the lawful happen(-to-be)
τοσοῦτον δὲ αὐτῷ τὸ περιὸν τῆς αἰδοῦς, ὡς καὶ εἴ τις
so-great and in-him the surplus of-the modesty that even if anyone
ἐξενέγκοι ῥῆμα φαῦλον τοῦ στόματος ἢ γυμνὸν ἔρωτος
should-utter word base from-the mouth or bare of-love
ὄνομα, ἐρυθήματος εὐθὺς γέμον δεικνύει τὸ πρόσωπον.
name with-blush at-once full shows the face

4 Ἀλλ' ἔροιτό τις, τίνα τῷ βασιλεῖ παιδικὰ καὶ
but might-ask someone what for-the emperor favorites and
οἷς ἂν ἀγλαΐζοιτο; βιβλία σοφίας παντοδαπῆς, λόγων
in-what — he-would-delight books of-wisdom manifold of-speeches
χαρακτῆρες σοφῶν, ἀποφθέγματα λακωνικά, γνωμολογίαι,
styles of-wise-men sayings laconic maxims
καλλιρρημοσύνη συνθήκης, ὁ ποικίλος τῶν λόγων
elegance of-composition the varied of-the speeches
σχηματισμὸς, ἡ τῶν ἰδεῶν ἐξαλλαγὴ, ἡ καινολογία, ἡ
figuring the of-the styles variation the novelty-of-phrase the
ποιητικὴ τοῦ λόγου κατασκευὴ, πρὸ δὲ τούτων ἁπάντων
poetic of-the speech construction before and these all
ὁ πρὸς φιλοσοφίαν ἔρως, τὸ τῆς ἀναγωγῆς ὕψος, ἡ τῆς
the for philosophy love the of-the anagogy height the of-the
ἀλληγορίας μεταβολή· οὐ γὰρ οἶδα εἴ τις βαθυγνώμων
allegory transformation not for I-know if any deep-minded
ἕτερος ἐγεγόνει τῶν βασιλέων, ἢ πρὸς ἕκαστον τῶν
other had-been of-the emperors or for each of-the
ζητουμένων εὐθυβολώτατος. Εἰπεῖν δὲ δεῖ διελόντα, ὡς
questions most-on-target to-say but one-must having-divided that
τὰ μὲν βασιλέως ἔργα καὶ λόγοι, τὰ δὲ φιλοσόφῳ
the(-things) indeed of-an-emperor works and words others but to-a-philosopher

προσήκοντα, τὰ δὲ ῥήτορι, τὰ δὲ ἐς μουσικοὺς πίπτει, καὶ
belonging others but to-an-orator others but to musicians fall and
περὶ μὲν τὴν σφαῖραν οἱ ἀστρολογοῦντες, περὶ δὲ τὰς τῶν
about indeed the sphere the astronomers about but the of-the
σχημάτων ἀποδείξεις οἱ γεωμετροῦντες, καὶ συλλογισμοὶ μὲν
figures demonstrations the geometers and syllogisms indeed
φιλοσόφοις ἀνεῖται, φυσικοῖς δὲ τὰ ἀπόρρητα ἔργα
for-philosophers are-reserved for-natural-philosophers but the secret works
τῆς φύσεως, καὶ ἄλλο τι ἄλλῳ τῳ, καὶ περὶ ἄλλῳ
of-the nature and other something to-other someone and about other
ἕτερος, καὶ διῄρηνταί γε τοῖς ἀνδράσι τὰ ὑποκείμενα·
another and are-divided at-least among-the men the subjects
τῷ δὲ συνείλεκται ἅπαντα· καὶ γὰρ φιλοσόφοις
by-him but have-been-gathered all and for with-philosophers
συνετάξατο, καὶ μετὰ ῥητόρων εἶπέν τι περὶ ζεύγματος
he-ranked and with orators said something about zeugma
καὶ ἐμφάσεως, καὶ μετὰ ὀπτικῶν περὶ ἀποστάσεως ἀκτίνων
and emphasis and with opticians about distance of-rays
καὶ διαστάσεως, ἀλληγορεῖν δὲ δεῆσαν πολλάκις τὸν
and dimension to-allegorize and it-being-needful often the
συγγραφέα ὑπερεβάλλετο, ὃν δὴ καὶ καθηγητὴν πρὸ
writer surpassed whom indeed also teacher before
πάντων εἵλετο καὶ ἐπὶ πᾶσιν ἐδημοσίευσε τοὔνομα. Ἰάμβων
all he-chose and before all published the-name of-iambics
δὲ μὴ προσχὼν μέτροις σχεδιάζει τούτους, εἰ καὶ μὴ
and not having-attended-to meters he-improvises them if even not
ἐπιτυγχάνων τὰ πολλὰ τοῦ ῥυθμοῦ, ἀλλ' ὑγιαίνουσαν τὴν
hitting the most(-part) the rhythm but sound the
ἔννοιαν ἐκδιδούς. Καὶ ἵνα συνελὼν εἴπω, χρῆμά τι
sense giving-out and that having-summed-up I-may-say thing some
γέγονε τῷ καθ' ἡμᾶς βίῳ ποικίλον καὶ πολυέραστον.
he-has-been for-the in our(-time) life varied and much-loved

5 Τὸ δὲ εἶδος αὐτῷ πρεσβυτικὸν οἷον καὶ σωφρονιστῇ
the and look his elderly such-as also for-a-tutor
προσῆκον ἢ παιδαγωγῷ ὅμοιον· πέπηγέ τε γὰρ αὐτῷ τὰ
fitting or to-a-pedagogue like are-fixed both for his the
ὄμματα καὶ ἡ ὀφρὺς οὔτε σοβαρὰ οὔτε οἷον ὕποπτος
eyes and the brow neither haughty nor as-it-were suspicious
καὶ ἐπικαθημένη τοῖς ὀφθαλμοῖς, ἀλλ' ἐλευθέρα καὶ ἐν τῷ
and settling on-the eyes but free and in the
προσήκοντι σχήματι· τὸ δὲ βάδισμα οὔτε σεσοβημένον
fitting shape the and gait neither hurried
καὶ οἷον ταραχωδέστατον οὔτε ἀργόν τε καὶ ῥᾴθυμον,
and as-it-were most-agitated nor idle both and lazy
ἀλλ' οἷον μουσικός τις ἀνὴρ ἐπαινέσειε περὶ ἄρσεις καὶ
but such-as musical some man would-praise about upbeats and
θέσεις τὴν πραγματείαν ποιούμενος, ὅ τε τῆς φωνῆς
downbeats the study making the and of-the voice
τόνος ἐμμελής τε καὶ εὔρρυθμος, μήτε καχλάζων τῷ
pitch tuneful both and well-rhythmed neither splashing with-the
τῆς γλώττης ῥεύματι μήτε ἀμαυρὸς καὶ δυσήκοος.
of-the tongue stream nor faint and hard-to-hear

6 Πολλῶν δὲ ὄντων λόγων τε καὶ πραγμάτων τῶν ἢ
many and being words both and affairs the(-ones) either
συστελλόντων ψυχὴν ἢ πρός τι διερεθιζόντων, οὗτος
depressing soul or to something provoking he
παρ' οὐδενὸς τούτων οὔτε τὸ ἦθος τραχύνεται οὔτε
by none of-these neither in-the character is-roughened nor
τὴν γνώμην συστέλλεται· γελᾷ μὲν ὡς ἥδιστα, δακρύει
in-the mind is-depressed he-laughs indeed as most-sweetly weeps
δὲ ὡς οἴκτιστα, καὶ ὀργίζεται μὲν ἥκιστα, καθίσταται
but as most-piteously and is-angry indeed least is-settled
δὲ πρὸς τὸ κρεῖττον οὐχ ἥκιστα. Νόμοις μὲν τὰ πολλὰ
but toward the better not least in-laws indeed the most(-part)

μὴ ἐμμελετήσας, ἐς δὲ τὴν δίαιταν ἀθρόους τούτους
not having-studied for but the judgment all-together them
καταριθμούμενος, οὐκ ἀπὸ τῶν δέλτων, ἀλλ᾽ ἀπὸ τῶν
reckoning-up not from the tablets but from the
στέρνων. Ἐρυθριάσαι μὲν εὔκολος, ἀναιδεύσασθαι δὲ οὐδ᾽
breast to-blush indeed ready to-be-shameless but not-even
ὅπως τε οὖν· σφαῖραν μὲν ἀναρρίψαι δεινὸς, περὶ δὲ μίαν
how — ever ball indeed to-toss-up clever about but one
σφαῖραν ἐπτοημένος τὴν οὐρανίαν· κυβείαν μὲν εἰδὼς τὴν
sphere passionate the heavenly dice-play indeed knowing the
τῶν πραγμάτων φορὰν καὶ μεταβολὴν, καὶ κύβον ἕνα τὸν
of-the affairs course and change and die one the
γεωμετρικὸν ὃν ὁ Πλάτων τῇ γῇ δίδωσι· κυνηγεσίοις
geometric which — Plato to-the earth gives in-hunts
δὲ γέγηθε μὲν, τοσοῦτον δὲ τῆς ἡδονῆς αὐτῷ ὅσον ἰδεῖν
and he-rejoices indeed so-much but of-the pleasure for-him as-much-as to-see
τὸν φεύγοντα ὄρνιν ἀνάλωτον, εἰ δ᾽ ὁ διώκων προσπελάζοι
the fleeing bird uncaught if but the pursuer should-approach
τούτῳ, ἀποκναίει τὴν γνώμην καὶ οὐκ ἐνατενίζει τῇ ὄψει.
it he-is-pained in-the mind and not gazes at-the sight
Οὐκ ἐπτόηται περὶ τὴν βασίλειον ἀγλαΐαν, οὐδὲ στέμμασιν 7
not is-excited about the imperial splendor nor with-crowns
ἐθέλει τὴν κεφαλὴν ταινιοῦν, ἀλλ᾽ ἀρετῶν εἴδεσιν. Οὐχ
wishes the head to-bind but of-virtues with-forms not
ὅσα τις περιψιθυρίσει τούτῳ τὴν ἀκοὴν ἐς τὰ στέρνα
as-much-as anyone will-whisper-round his the hearing into the breast
κάτεισιν, ἀλλὰ τὰ μὲν ἔξω θυραυλεῖ ὅσα
goes-down but some(-things) indeed outside camp-at-the-door as-many-as
τοῦτον λυπεῖν εἴωθε, τὰ δὲ τῇ ψυχῇ ἀπομάττεται ὁπόσα
him to-grieve are-wont others but on-the soul are-impressed as-many-as
αὐτῷ ἥδιστα· ἐς παράδειγμα τὸν πατέρα βλέπει καὶ πολλὰ
to-him sweetest to example the father he-looks and many

τῶν ἐκείνου ὑπερβαλλόμενος, ἡττᾶσθαι πάντων ὁμολογεῖ·
of-the his(-things) surpassing to-be-beaten in-all confesses
τὸ δὲ μέγιστον καὶ ὃ μηδὲ θαυμάζειν δεδύνημαι,
the but greatest and what not-even to-admire I-have-been-able
ξυγκλυσθέντων αὐτῷ τῶν πραγμάτων κατά τε τὴν ἑῴαν
having-been-flooded for-him the affairs in both the east
καὶ τὴν ἑσπέραν, ὧν τὰς ἀφορμὰς οἱ πρὸ τούτου
and the west of-which the occasions the before him
δεδώκασιν αὐτοκράτορες, ἄλλος μὲν ἄν τις καὶ τῶν
have-given autocrats other indeed — someone even of-the
λίαν ἰσχυρογνωμόνων τῆς τῶν κακῶν ἐγεγόνει φορᾶς
very strong-minded of-the of-the evils would-have-become course
καὶ ἐνεδεδώκει τοῖς πράγμασιν, εἴτε τι διερράγη ἂν
and given-way to-the affairs or somewhat would-have-burst —
ὁ τῆς βασιλείας κάλως, καὶ κατερράγη μὲν ἡ ὀροφὴ,
the of-the empire cable and crashed-down indeed the roof
ἀνέσπαστο δὲ ὁ θεμέλιος, ἀλλ᾽ ἡ τῆς ψυχῆς αὐτῷ στάσις
had-been-uprooted and the foundation but the of-the soul his steadiness
καὶ τὸ τῆς γνώμης ἀκλόνητον ἔστησε τὴν τῶν πραγμάτων
and the of-the mind unshakenness stopped the of-the affairs
φοράν, καὶ εἰ μὴ τοῖς λιμέσι προσωκείλαμεν τέως, ἀλλ᾽ ἐπὶ
course and if not in-the harbors we-have-put-in yet but on
μετεώρου σαλεύομεν καὶ οὔπω ἀπώσθημεν ἐς τὸ πέλαγος.
open-sea we-ride and not-yet we-were-driven into the deep

8 Ταῦτα μὲν οὖν κοινὰ τούτῳ πρὸς ἅπαντας, τὰ δὲ
these(-things) indeed then common for-him toward all the(-things) but
πρὸς τὸν συγγραφέα οὐκ ἔχει πρὸς τοὺς ἄλλους ἅμιλλαν,
toward the writer not admits with the others rivalry
οὐδὲ σύγκρισιν· οὔτε γὰρ τῷ τῶν ἀδελφῶν οὕτω
nor comparison neither for the(-one) of-the brothers so
τεθάρρηκεν, οὔτε τοῖς κρείττοσι τοῦ γένους, οὔτε ἱεροῖς καὶ
he-has-trusted nor the higher of-the family nor holy and

θείοις ἀνδράσιν, ὡς ἐμοί· ἃ μὲν οὖν εὐηργέτηκέ με, διδοὺς
divine men as me what indeed then he-has-benefited me giving
ἀεί τι καὶ προστιθεὶς καὶ ἐπὶ μεῖζον αἴρων, καὶ ἄλλο
always something and adding and to greater raising and one
ἐπ᾽ ἄλλῳ τῳ τῶν ἀγαθῶν προσάγων καὶ ἐπαυξάνων τὸ
upon another some of-the goods bringing and increasing the
ὑποκείμενον, δέξαιτ᾽ ἄν τινα καὶ πρὸς ἄλλον παραβολὴν,
present would-admit — some also with another comparison
τὸ δὲ ἐνδιάθετον τῆς γνώμης, τὸ δὲ ἔμφυτον τῆς ψυχῆς,
the but inwardness of-the mind the but inborn(-quality) of-the soul
τὸ δὲ διαχεῖσθαί μοι εὐθὺς θεασάμενος καὶ ἀγλαΐας καὶ
the but to-melt for-me at-once having-seen(-me) and with-splendor and
χαρίτων ἐμπίπλασθαι, καὶ τὸ ὑπεραίρειν οὐχ ὅσων
charms to-be-filled and the to-exalt(-me) not of-as-many-as
ὁρᾷη σοφῶν, ἀλλὰ καὶ ὅσων ἀκούοι, ταῦτα οὐκ
he-sees wise but also of-as-many-as he-hears these(-things) not
ἂν τις παραμετρεῖν πρὸς ἕτερον δύναιτο. Βασκανίας δὲ
— anyone to-measure against another could of-envy and
μὴ βάλλοι βέλος ἡμᾶς, μηδὲ νεμέσεως.
not may-strike shaft us nor of-nemesis
Ἀλλ᾽ ἐπιτέμνοντα τὸν λόγον πολλά με διέλαθε, τὸ περὶ 9
but cutting-short the account many(-things) me escaped the toward
τὴν γυναῖκα φίλτρον, οἷον ἐξ ἐκείνης ἀποτέκοι παιδίον,
the wife love what from her he-begot child
τὸ περὶ τοῖν ἀδελφοῖν, ὧν θαυμασίων ὑποκειμένων
the(-love) toward the two-brothers of-whom wonderful being
θαυμασιώτερος ἐκεῖνος γνωρίζεται. Καὶ ἵνα μὴ παρὰ τὸ
more-wonderful he is-recognized and that not for the
γένος ἐπαινοίην τὴν βασιλίδα, εὐδαιμονίᾳ καὶ ἀρχαιότητι
family I-should-praise the empress in-prosperity and antiquity
πασῶν ὑπεραίρων αὐτὴν, ἀρκεῖ αὐτῇ ἀντὶ πάντων τὸ
all surpassing her suffices for-her instead-of all the

ἦθος οἷον οὐχ ἑτέρας ἕξεως, καὶ τὸ εἶδος οἷον οὐχ
character such-as not of-another disposition and the form such-as not
ἑτέρας ὄψεως· εἰ δὲ γυναιξὶ κόσμον ἡ σιγὴ φέροι,
of-another look if and for-women adornment the silence brings
κατὰ τὸν τραγῳδὸν, κόσμου παντὸς αὕτη τιμιωτέρα
according-to the tragedian than-adornment every she more-precious
καθέστηκεν, ὅτι μηδενί τῳ ἄλλῳ ἢ τῷ ἀνδρὶ τὴν
has-become because to-no one other than the husband the
γλῶτταν ἐγνώρισεν, αὐτομάτως καλλίων τυγχάνουσα ἢ
tongue made-known naturally more-beautiful being than
ὁπότε ἀναγκαίως ἔχοι κοσμήσασθαι.
when necessarily she-had to-adorn-herself

10 Περὶ δὲ τοὺς ἀδελφοὺς ποδαπὸς οὗτος ὁ αὐτοκράτωρ;
toward and the brothers what-sort this the autocrat
οὐκ ᾠήθη χρῆναι ὥσπερ ὑπὸ χεῖρα ἔχειν καὶ οἷον
not thought to-be-needful as-it-were under hand to-hold and as-it-were
ἐφ' ἑκάστου καιροῦ χαλιναγωγεῖν, ἀλλὰ μερίζει ἑκατέρῳ
on each occasion to-bridle but divides for-each
τὰς βασιλείους διατριβὰς καὶ ἐς αὐτεξούσιον ἡγεμονίαν
the imperial residences and into independent dominion
καθίστησιν. Ἐρῶ δὲ καὶ περὶ τοῦ θείου τοῦ Καίσαρος·
sets I-shall-speak and also about the uncle the Caesar
ἤρτηται τῆς γνώμης αὐτοῦ, καὶ τῆς συμβουλῆς θαυμάζει
he-hangs-on the judgment his and of-the counsel admires
τὴν σύνεσιν, τὴν περὶ πάντα πράγματα δεξιότητα· τῶν
the understanding the in all affairs adroitness of-the
μὲν περὶ τὴν πολιτείαν αὐτὸς ἔχεται πράξεων, ἐπ' αὐτῷ
indeed about the state himself holds affairs on him
δὲ τίθεται ὁπόσα ἐς γνώμην τείνει στρατηγικήν.
but lays as-much-as to judgment tends military

Καὶ τοῦτο δὲ προσθήσω τοῖς εἰρημένοις· διεγνώκει με 11
and this too I-shall-add to-the(-things) said had-learned me
οὗτος ὁ βασιλεὺς μέλλοντα τοῦτον ἐξιστορεῖν, καὶ ἐπιτάξας
this the emperor being-about him to-record and having-ordered
μὴ γράφειν μέχρις ἂν αὐτὸς ἐκδοίη τῶν ἑαυτοῦ τρόπων
not to-write until — himself he-should-give-out of-the his-own ways
κεφάλαια, εἶτα δή μοι ὁ ὑπογραφεὺς ἀνεγνώκει τὰ
headings then indeed to-me the secretary read-out the
γεγραμμένα· κἀγὼ μὲν εἴκαζον πρὶν ἢ τοῦ ἀναγνώσματος
written(-things) I-too indeed guessed before than the reading
ἀκροάσασθαι, ἀπορρητότερα εἶναι καὶ κρείττονα· ὁ δέ
to-hear more-secret to-be and greater he but
γε ἐν τούτοις τοσοῦτον κατήνεγκεν ἑαυτὸν καὶ οὕτως
at-least in these so-much brought-down himself and so
παρὰ φαῦλον ἔθετο, καὶ τοσαῦτα κατεῖπε τῆς ψυχῆς, ὡς
as worthless set and so-many-things said-against the soul as
καὶ ἀδαμαντίνην φύσιν κινῆσαι πρὸς θαῦμα τοῦ ὕψους τῆς
even adamantine nature to-move to wonder at-the height of-the
ταπεινώσεως. Καὶ ἀρκεῖ σοι τοῦτο σύμβολον, θειότατε
humility and suffices for-you this token most-divine
βασιλεῦ, ἀντὶ πάσης ἑτέρας ἀρετῆς τε καὶ ἕξεως!
emperor instead-of all other virtue both and disposition

Κωνσταντῖνος ὁ τοῦ Δούκα τοῦ Μιχαὴλ τοῦ βασιλέως υἱός

XXII · CONSTANTINE, MICHAEL'S SON

Psellos describes the crowned infant Constantine, whose beauty he has never seen equaled. Like Nestor advising Neoptolemus, he counsels the boy, a future reader, to model himself on his father, and promises another account when Constantine gives him matter.

12 Τὸν τοῦ Μιχαὴλ τοῦ Δούκα βασιλέως υἱὸν Κωνσταντῖνον
the — of-Michael of-the Doukas emperor son Constantine
βρεφύλλιον ἐγὼ καὶ ἐν ἀγκάλαις γαλακτοτροφούμενον
little-babe I even in arms being-nursed
ἑωράκειν καὶ ταινίᾳ βασιλικῇ ἀναδεδεμένον τὴν κεφαλήν·
had-seen and with-fillet imperial bound in-the head
γράφω δὲ αὐτῷ οὔτε λόγους τινὰς, οὔτε πράξεις, οὔτε
I-write and of-him neither words any nor deeds neither
γὰρ ἔπραξέ τι οὔτε οὔπω ἐφθέγξατο· ἀλλὰ καὶ τὸ
for he-has-done anything nor yet he-has-spoken but both the
εἶδος καὶ τὸ ἐμφαινόμενον ἦθος, ὡς οἷόν τε καὶ ἀπὸ
form and the appearing character as possible — also from
τούτων δηλοῦσθαι τὴν ἐγκαθημένην ψυχὴν, οὔπω γὰρ
these to-be-shown the indwelling soul never-yet for
οἶδα τοιοῦτον κάλλος ἐπίγειον· τὸ μὲν γὰρ πρόσωπον
I-know such beauty earthly the indeed for face
αὐτῷ εἰς ἀκριβῆ κύκλον ἀποτετόρνευται, οἱ δὲ ὀφθαλμοὶ
his into exact circle has-been-rounded the and eyes
γλαυκοὶ καὶ εὐμεγέθεις καὶ γαλήνης μεστοὶ, αἵ τε ὀφρῦς
gray and large and of-calm full the and brows
εὐθεῖαι γραμμαὶ ἀτεχνῶς, περὶ μὲν τὴν βάσιν τῆς ῥινὸς
straight lines simply about indeed the base of-the nose

βραχύ τι διεστῶσαι, περὶ δὲ τοὺς κροτάφους ἠρέμα
slightly somewhat parted about and the temples gently
κάμπτουσαι· ἡ δὲ ῥὶς ἐλευθέρα μὲν τοὺς μυκτῆρας, ἀλλ᾽
curving the and nose free indeed in-the nostrils but
ἀρχομένη μὲν βραχύ τι ἐγείρεται, προϊοῦσα δὲ ἐς
beginning indeed slightly somewhat rises advancing and to
ἄκρον ἐμφαίνει τι τοῦ γρυποῦ· τῆς τε κεφαλῆς ἡλιῶσα
tip shows something of-the hooked of-the and head sunny
θρὶξ ἐξανθεῖ· καὶ τὼ χείλη λεπτὼ τούτῳ, καὶ τὸ ὄμμα
hair blooms and the two-lips thin his and the eye
βλέπον ἡδὺ καὶ ἀττάλον ἡδύτερον, καὶ τὴν ψυχὴν ἀπὸ
looking sweet and tender sweeter and the soul from
τούτου ἐμφαῖνον οὔτε καταβεβλημένην οὔτε ἐπιβεβλημένην,
this showing neither downcast nor overbearing
ἀλλὰ πρᾳεῖαν μὲν, θείῳ δὲ διεγηγερμένην κινήματι.
but gentle indeed by-divine but awakened motion
Τὸν μὲν οὖν Τελαμώνιον Αἴαντα τιθηνούμενον ἔτι τὸν 13
the indeed then Telamonian Ajax being-nursed still —
Ἡρακλέα φασὶν ἰδεῖν καὶ τῇ λεοντῇ περιβαλεῖν,
Heracles they-say to-have-seen and with-the lion-skin to-wrap
ἐγὼ δὲ ἠγκαλισάμην πολλάκις καὶ ὄνασθαί μου τῶν
I but embraced(-him) often and to-profit-from my the
λόγων ηὐξάμην· ἐναγκαλίσομαι δὲ καὶ αὖθις, καὶ τοῦτο
words prayed I-shall-embrace and also again and this
πλειστάκις, καὶ ὀναίμην αὐτοῦ ὁπότε εἰς ἡλικίαν ἔλθοι
very-often and may-I-profit-from him when into age he-comes
καὶ τὸ δύνασθαι λάβοι παρὰ τοῦ πατρός. Ὁ μὲν οὖν
and the to-have-power receives from the father — indeed then
Νέστωρ ὁ Πύλιος μετὰ τὴν τῆς Τροίας ἅλωσιν ὑποτίθεται
Nestor the Pylian after the — of-Troy capture suggests
Νεοπτολέμῳ τῷ Ἀχιλλέως υἱῷ ἃ δεῖ πράττοντα ἄνδρα
to-Neoptolemus the of-Achilles son what one-must doing man

γενέσθαι δεξιὸν, ἐγὼ δὲ τοσοῦτον αὐτῷ ὑποθείμην· ἴσως
to-become able I but so-much to-him would-suggest perhaps
γὰρ ἐφ᾽ ἥβης γενόμενος ὁ βασιλεὺς οὗτος ἀναγνώσεταί
for at youth having-come the emperor this will-read
μου τὸ σύγγραμμα, πρὸς παράδειγμα τὸν πατέρα ὁρῶν,
my the history to example the father looking
κἀκεῖθεν ἑαυτὸν ἱστορεῖν· καὶ ὁμοιωθείης, παιδίον, τῷ
and-thence himself to-study and may-you-be-likened child to-the
φύσαντι, καὶ γένοιο ἂν οὐ κακός· εἰ μὲν οὖν περαιτέρω
begetter and you-would-be — not base if indeed then beyond
τῆς καθεστώσης ἡλικίας προβήσομαι, ἕτερόν σοι λόγον
the present age I-shall-advance another for-you account
συγγράψομαι, ὁπηνίκα καὶ αὐτὸς ἀφορμὰς τοῦ γράφειν
I-shall-write when also yourself occasions of-the to-write
παράσχοις ἐμοί· εἰ δ᾽ οὖν, ἀποχρῶν σοι τοῦτο τὸ γράμμα,
you-provide to-me if but then sufficing for-you this the writing
ἑτέροις ὑπόθεσις τῶν ἐπὶ σοὶ συγγραμμάτων ἐσόμενον.
for-others theme of-the about you histories going-to-be

Ἀνδρόνικος ὁ ἀδελφὸς Μιχαὴλ βασιλέως τοῦ Δούκα

XXIII · ANDRONIKOS

Michael's brother Andronikos is gracious, eager for learning, argues with Psellos about the antipodes, draws well, rides, and hunts with passion; quick of tongue, he turns any slip into a pleasantry.

14 Χαριέστατος οὗτος ὁ βασιλεὺς καὶ μετὰ τὴν ἥβην εὐθὺς,
most-gracious this the emperor and after the youth at-once
πρόθυμος δὲ τὴν ψυχὴν περὶ λόγους καὶ οὐδὲ τῶν
eager and in-the soul about letters and not-even from-the

βαθυτέρων ἀπεχόμενος ζητημάτων· ἐμοὶ γοῦν πράγματα
deeper abstaining questions to-me at-any-rate trouble
παρέχει περὶ τῶν ἀντιπόδων διαλεγόμενος, ἀπαρνούμενος
gives about the antipodes arguing denying
τούτους, ἵνα μὴ ἀπὸ τῶν ποδῶν ἐς κεφαλὴν αἰωροῖντο·
them that not from the feet to head they-should-hang
καὶ ἁδρότερος μὲν τὴν χεῖρα, δεξιὸς δὲ καὶ λεπτὸς, περὶ
and stouter indeed in-the hand deft but and fine about
τὰς σκιὰς εὔκολος, τὸ ἦθος οὐ βαθὺ οὐδὲ εἰρωνικὸν ἔχων,
the shadings easy the character not deep nor dissembling having
ἀλλ' ἐκκείμενον ἅπασιν, εὐγενὴς τὴν προαίρεσιν, ἱππᾶσθαι
but open to-all noble in-the disposition to-ride
ἐπιτήδειος, θερμὸς τὰ περὶ τὴν θήραν, ὥστε μήτε
apt hot in-the(-things) about the hunt so-as neither
τοῦ λαγὼ ἐθέλειν ἀπολείπεσθαι, ἀλλὰ καὶ τοῖς γεράνοις
of-the hare to-wish to-fall-behind but even with-the cranes
συμπέτεσθαι, πρόχειρος μὲν βραχύ τι τὴν γλῶτταν, εἶτα
to-fly ready indeed slightly somewhat in-the tongue then
δὴ εἰς χάριτας κατακλείων εἴ τί που παραφθέγξαιτο.
indeed into graces closing if anything somewhere be-blurted

Κωνσταντῖνος ὁ ἀδελφὸς αὐτοῦ

XXIV · CONSTANTINE

Michael's brother Constantine is old in judgment, sharp-tongued, and slow to yield: he answers argument with argument and ends in a smile. He rides and hunts well and delights his mother and brothers.

15 Οὐ πρόχειρος οὗτος ὁ βασιλεὺς τὴν γνώμην, ἀλλ' ἴσῳ
not hasty this the emperor in-the mind but equal
συννενευκὼς καὶ σωφρονιστῇ ἀτεχνῶς ἐοικώς· ἐγρηγορεῖ
inclined and to-a-tutor simply like is-wakeful
δὲ τὰ πολλὰ, καὶ εἰπεῖν οἷς ἂν τὴν γλῶτταν ὀξύτερος·
and the most(-part) and to-speak in-what — in-the tongue sharper
εἴκει δὲ οὐ ταχέως τοῖς ἀντιπίπτουσιν, ἀλλὰ λόγοις
yields and not quickly to-the(-ones) opposing but against-words
ἀντεμβάλλει λόγους καὶ πείθειν ἐπιχειρεῖ, ἀποτελευτᾷ
throws-back words and to-persuade attempts ends
δὲ εἰς μειδίαμα καὶ ἠρέμα ἐπιγάννυται οἷς ἐφθέγξατο·
and in smile and gently exults in-what he-said
τὴν σύνεσιν πολιὸς, τὴν ψυχὴν βεβηκὼς, οὐ ταχὺ
in-the understanding gray in-the soul steady not quickly
μεταπίπτων πρὸς ἅπερ ὁρμήσειεν, τὴν χεῖρα μέσος, οὔθ' ὕπτιος τὴν παλάμην, οὔτε συγκεκλικὼς τοὺς δακτύλους,
changing toward what he-set-out in-the hand middling neither open in-the palm nor having-bent-together the fingers
ἐφ' ἵππον ἐπιβῆναι δεξιὸς, θηρᾶσαι δὲ δεινὸς, πάγκαλον
onto horse to-mount deft to-hunt and clever all-beautiful
χρῆμα καὶ τῇ μητρὶ καὶ τοῖς ἀδελφοῖς.
thing both to-the mother and to-the brothers

Ἰωάννης Καῖσαρ ὁ Δούκας

XXV · JOHN THE CAESAR

The Caesar John Doukas joins the sharpest mind with the gentlest soul. He learned generalship from the tactical books, is slow to anger, bears no grudges, and is cautious in speech. Hunting, which Psellos often reproaches, is his one immoderate love, sharing his life with books.

Τί ἄν τις εἴποι περὶ τοῦ ἀνδρὸς τούτου, ὥστε ἐξισῶσαι 16
what — anyone might-say about the man this so-as to-equal
τοὺς λόγους ταῖς τῶν ἠθῶν ἀγλαΐαις καὶ ταῖς τῆς
the words to-the of-the characters splendors and to-the of-the
ψυχῆς ἀρεταῖς; παντοδαπὸν γὰρ οὗτος χρῆμα καὶ οἷον
soul virtues manifold for this thing and as-it-were
κάλλιστον τῷ βίῳ ἀνάθημα, καὶ ἐκ δυεῖν τοῖν ἐναντίοιν
finest for-the life offering and from two the opposites
ξυγκείμενος, ὀξύτατος γὰρ τὴν σύνεσιν ὢν ξυμπάντων
composed sharpest for in-the understanding of-whom of-all
ὧν ἐγὼ καὶ ἤσθημαι καὶ τεθέαμαι, οὕτω πραοτάτην
whom I both have-perceived and have-seen so most-gentle
ἐνδείκνυται τὴν ψυχὴν, ὡς εἰκάζεσθαι ῥεύματι ἐλαίου
shows the soul as to-be-likened to-a-stream of-oil
ἀψοφητὶ ῥέοντος. Τὰ μὲν οὖν ἐς στρατηγίαν κατὰ
noiselessly flowing the(-things) indeed then in generalship like
τοὺς ἀρχαίους ἐκείνους καὶ πολυϋμνήτους Καίσαρας, καὶ
the ancient those and much-hymned Caesars and
ὁπόσα τετολμήκασί τε καὶ κατωρθώκασιν Ἀδριανοὶ καὶ
as-much-as have-dared both and achieved Hadrians and
Τραϊανοὶ καὶ οἱ τῆς αὐτῆς ξυμμορίας, ἐκείνοις ἐλήλυθε
Trajans and the(-ones) of-the same company with-them he-has-come
πρὸς τὴν τοιαύτην ἐπιστήμην, οὐκ ἀπὸ ταὐτομάτου, οὐδὲ
to the such science not from chance nor

τυχαίως, ἀλλ᾽ ἀπὸ τῶν τακτικῶν βιβλίων καὶ στρατηγικῶν
casually but from the tactical books and strategic
καὶ πολιορκητικῶν καὶ περὶ ὅσων οἱ περὶ Αἴλιον καὶ
and siege-craft and about as-much-as the(-ones) around Aelian and
Ἀπολλόδωρον συγγεγράφασιν· ἀλλὰ τὰ μὲν περὶ τὴν
Apollodorus have-written but in-the(-things) indeed about the
στρατηγίαν τοιοῦτος, ἐλάττων δὲ τὰ πολιτικὰ καὶ ὅσα
generalship such lesser but in-the civil(-things) and as-much-as
ἐς δίκας φέρει καὶ τὰ δημόσια; πολλοῦ γε καὶ δεῖ·
to lawsuits leads and the public(-matters) far at-least and lacks
ξυρὸς γὰρ εἰς ἀκόνην πρὸς πάντα τὰ κάλλιστα, τοῦτο δὴ
razor for to whetstone for all the finest(-things) this indeed
τὸ παροιμιῶδες· ἀλλ᾽ ἐς ὀργὴν πρόχειρος; οὐμενοῦν, εἰ μὴ
the proverbial but to anger ready not-at-all if not
ὅσον ἐνδείξασθαι· ἀλλὰ μνησικακῆσαι δεινός; ἀλλὰ τοῦτο
as-much-as to-show but to-bear-grudges clever but this
δὴ τὸ μέρος καὶ μᾶλλον θαυμάσιος καὶ οἷος οὐκ ἄλλος·
indeed the part even more wonderful and such-as not another
ἀλλὰ τὴν γλῶτταν πρόχειρος, ἢ πρὸς τὸν ἀδελφὸν πρότερον
but in-the tongue ready or toward the brother earlier
καὶ τὸν ἀνεψιὸν ὕστερον τόλμαν ἔχων ἢ παρρησίαν;
and the nephew later daring having or frankness
οὐμενοῦν· ὥς γε δὴ καὶ παράδειγμα τοῖς πολλοῖς ἡμῖν
not-at-all so-that at-least indeed also example to-the many of-us
εὐλαβείας καθίσταται, ἁπανταχοῦ δὲ μετριάζων καὶ σπουδὴν
of-caution he-stands everywhere and moderate and earnest
παιδιᾷ κιρνῶν, ἐν τούτῳ μόνον οὐ καθεκτὸς, οὐδὲ σύμμετρος.
with-play mixing in this only not restrainable nor measured

17 Τὰ παντοδαπὰ κυνηγᾶται· περιεργάζεται οὖν πτερὸν
the(-things) manifold he-hunts studies then wing
ὄρνιθος καὶ θηρίων ὁρμὰς, ἐπιθωάζει τε κυσὶ καὶ καταδιώκει
of-bird and of-beasts rushes halloes both to-dogs and chases

βαλιὰν ἔλαφον, μαίνεταί τε περὶ τὰς ἄρκτους, ὃ δὴ
dappled deer is-mad and about the bears which indeed
πολλάκις αὐτῷ προσωνείδισα, ἀλλ᾽ ἔστιν αὐτῷ ἡ θήρα
often to-him I-reproached but is for-him the hunt
ἀμετάθετα παιδικά· δυοῖν γὰρ τούτοις μερίζει τὸν βίον,
unchangeable darling between-two for these he-divides the life
βιβλίοις καὶ κυνηγεσίοις, μᾶλλον δὲ σχολάζοντι μὲν φίλα
books and hunts rather but at-leisure indeed dear
ταῦτα καὶ μελετώμενα, σπουδάζοντι δὲ οἰκεῖα ὅσα
these(-things) and practiced in-earnest but proper as-many-as
καὶ ὅσα πρὸς τοὺς καιρούς· εἰρηνεύειν τοῖς ἐναντίοις
also as-many-as for the times to-make-peace with-the enemies
ἢ μάχεσθαι ἐπίσταται· λόχους, πολέμων τάξεις, διαιρέσεις
or to-fight he-understands ambushes of-wars ranks divisions
τάξεων εἰπεῖν, ἢ φάλαγγα στῆσαι, πῶς πυκᾶσαι τὸ βάθος,
of-ranks to-say or phalanx to-set how to-thicken the depth
πῶς ἀπολεπτῦναι τὸ πλαίσιον σχῆμα, τὸ κοιλέμβολον
how to-thin the square formation the hollow-wedge
εἶδος, τὴν συναγωγήν, τειχομαχίας, ἱππομαχίας, πεζὴν
form the concentration wall-fighting horse-fighting infantry
σύνταξιν πρὸς τοὺς καιροὺς, πρὸς τοὺς τόπους, καὶ τί
array for the times for the places and why
καθ᾽ ἕκαστον λέγω; ἐπὶ πᾶσι τῶν πάντων κεκράτηκε.
by each do-I-speak in all over-the all he-has-prevailed

Γραφὴ τοῦ Βασιλέως πρὸς τὸν Φωκᾶν

XXVI · THE EMPEROR'S LETTER TO PHOKAS

In a letter the emperor reminds the magistros Phokas of his exile and recall, of the honors and confidences heaped on him, and of the favors done to his family. Rumor says Phokas is arming to seize the throne; the emperor begs him to dismiss the thought, and reminds him of the oaths he swore by God and of God's providence, which repays every deed.

18 Γράφων οὖν ὁ βασιλεὺς πρῶτον μὲν τῆς χαλεπῆς
writing then the emperor first indeed of-the harsh
ὑπερορίας καὶ τοῦ ἐν ἐκείνῃ τοῦ Φωκᾶ ἐκρεύσαντος
exile and of-the in it — of-Phokas having-flowed-away
χρόνου, τῆς τε τῶν οἰκείων ἐρημίας, καὶ τῆς ἀπόρου
time of-the both of-the kin desolation and of-the helpless
πενίας, καὶ τοῦ ῥυπῶντος χιτῶνος καὶ τῶν διερρηγμένων
poverty and of-the dirty tunic and of-the torn
περιβολέων μιμνήσκει, εἶτα τὴν οἰκείῳ κελεύσματι
cloaks reminds then the by-own command
γεγενημένην ἀνάκλησιν αὐτοῦ καὶ τὴν ἐν βασιλείοις ἐν
having-happened recall his and the in palace in
μεγίστῃ τιμῇ ὑποδοχὴν, καὶ τὰς σατραπικὰς ὡς εἰπεῖν
greatest honor reception and the satrapal so to-say
εὐεργεσίας, καὶ πάντα λόγον παρατρεχούσας δεξιώσεις
benefactions and every word outrunning welcomes
διεσήμαινε, καὶ ὅπως πᾶν εἴ τι μέγα καὶ σεμνότατον
declared and how all if anything great and most-august
ἔχοι πολιτεία Ῥωμαϊκὴ φέρων εὐθέως αὐτῷ προσέθηκε,
has state Roman bringing at-once to-him added
τιμαῖς τε καὶ στρατηγίαις τὰ πρῶτα ἐλάμπρυνε καὶ
with-honors both and commands at-the first made-splendid and

ὑψηλότερον ἁπάντων τέθεικε, οὐσίας τε κύριον κατέστησε
higher than-all placed of-property and master made
τοσαύτης ὅση πρέπειν ἐμφανῶς τῷ ἀξιώματι ἔμελλε· "τίς
so-great as to-befit manifestly to-the dignity was-going who
γάρ, φησιν, ἀμείνω σου τάξιν παρ' ἐμοῦ ἐκαρποῦτο,
for he-says better than-you rank from me enjoyed
ἢ τίς ἐκρίνετο φίλος βασιλέως καὶ ὦτα καὶ ὀφθαλμός;
or who was-judged friend of-the-emperor and ears and eye
τίς δὲ ἦν ὁ πάντα πείθων εἰ βούλοιτο; τίνι δὲ
who and was the(-one) all persuading if he-wished with-whom and
τῶν πραγμάτων ἀνεκοινούμην τὰ μέγιστα; ἆ γὰρ τόν
of-the affairs did-I-share the greatest what for the
τε ἀδελφὸν καὶ τὴν μητέρα ἔκρυπτον, ταῦτά σοι
both brother and the mother I-hid these(-things) to-you
μόνῳ διέφαινον. Τίς δὲ ὁ παύων νῦν καὶ καθιστῶν
alone I-revealed who and the(-one) stopping now and appointing
τὰς μεγίστας ἀρχάς; ἐξ ὧν σὺ καὶ ἤκουες τοσοῦτον
the greatest offices from which you also were-reputed so-much
καὶ ἡ δυναστεία ηὔξηται· καὶ σιωπῶ τὰ εἰς πατέρα
and the power has-grown and I-pass-over the(-things) for father
καὶ ἀδελφὸν καὶ συγγενεῖς διὰ σὲ πεπραγμένα μοι,
and brother and kin because-of you done by-me
καὶ τοὺς ὅσους ἐξ ἰδιωτικῆς ταπεινότητος εἰς ὕψος
and the as-many-as from private lowliness to height
ἀξιωμάτων σὴν χάριν ἀνήνεγκα, καὶ τοὺς ὅσοι
of-dignities your for-sake I-raised and the(-ones) as-many-as
οὐ τοὺς τυχόντας πλούτους κατεκτήσαντο, ἐξ ἀπορίας
not the ordinary riches acquired from poverty
προγονικῆς ἀρχὰς στρατηγικὰς καὶ πολιτικὰς διέποντες,
ancestral commands military and civil administering
ὧν καὶ ἀδικούντων λάθρα τε καὶ προδήλως οὐκ
of-whom even doing-wrong secretly both and openly not

ἐποιούμην ἐπιστροφήν· εἰδὼς γὰρ ὡς πλῆθος, ἐσιώπων
I-made notice knowing for as multitude I-kept-silent
τὰ τοιαῦτα, σοῦ δὴ ἕνεκα πάντων ἀνεχόμενος· μίαν
the such(-things) your indeed for-sake all enduring one
γὰρ τῶν κακῶν σέ μοι γενέσθαι μετὰ τὴν θείαν
for of-the evils you for-me to-be after the divine
ῥοπὴν ἤλπιζον παραψυχήν· διὰ γὰρ τούτων καὶ
favor I-hoped consolation through for these also
συνεργόν σε ἐφ' ᾧ τῶν ἐμῶν κύριος καταστῆναι
helper you upon which of-the my(-things) master to-stand
ἄθραυστος εἱλόμην τε καὶ προσείληφα, σὲ μόνον τῶν
unbroken I-chose both and took-on you alone of-the
ἐν ἀνθρώποις σύμμαχον καὶ συμμύστην κατακτήσασθαι
among men ally and fellow-initiate to-acquire
οἰηθεὶς, καὶ διά σου τοὺς ἐν μέσῳ κατευνασθῆναί
having-thought and through you the in between to-be-lulled
μοι προσδοκήσας ταράχους· νῦν δὲ, ὦ τῶν ματαίων
for-me having-expected troubles now but O of-the vain
βουλευμάτων, ὦ τῶν ἀστηρίκτων ἐλπίδων, καὶ ἐπὶ
plans O of-the unsupported hopes and upon
τῆς ἐπὶ τοσοῦτον ἀγνωμοσύνης! ἄνθρακες ὁ θησαυρὸς
the to such ingratitude coals the treasure
ἀνασκαπτόμενος· οὐ γὰρ αἱ ἐλπίδες τὸ μάταιον ἔχουσι,
being-dug-up not for the hopes the vanity have
μόνον εἰ μὴ παρὰ πολλῶν ἀπελπίσεται· ἀλλὰ καθ'
only if not by many it-will-be-despaired but against
ἑαυτῶν κεκινήκαμεν τὸν ἀνάγυρον, ἐλαίῳ πῦρ κατασβέσαι
ourselves we-have-stirred the stinking-bean with-oil fire to-quench
πεισθέντες.
having-been-persuaded

“Ἀντὶ γὰρ παραψυχῆς συμφορὰν, καὶ ἀντὶ συμμάχου 19
instead-of for consolation calamity and instead-of ally
πολέμιον, καὶ ἀντὶ συνεργοῦ καθαιρέτην τὰ λογοποιούμενα,
enemy and instead-of helper destroyer the rumored(-things)
εἴ γε ἀληθείας ἔχεται, ἀναφανδόν σε δεικνύει· ὥσπερ
if at-least to-truth hold openly you show as-if
γὰρ τὰ ἔσχατα ἠδικημένον καὶ τεταπεινωμένον ὑπ᾽
for the utmost wronged and humbled by
ἐμοῦ, οὕτω τὰς κατ᾽ ἐμοῦ τιμωρίας ὁπλίζεσθαί σέ
me thus the against me vengeances to-arm you
φασι, πάσῃ σπουδῇ τῆς βασιλικῆς καὶ διαφερούσης
they-say with-all zeal from-the imperial and belonging
ἑστίας ἐμὲ μὲν ἐξῶσαι ἀγωνιζόμενον, σαυτῷ δὲ ταύτην
hearth me indeed to-thrust-out striving for-yourself but it
μνηστευόμενόν τε καὶ οἰκειούμενον. Ἀλλὰ μὴ τοῦτο,
wooing both and appropriating but not this
μὴ μὴ, μάγιστρε, μηδὲ εἰς νοῦν ποτὲ βάλλοιο! ὡς
not not magistros nor into mind ever may-you-cast may
ἀπόλοιντο οἱ λογοποιοὶ καὶ οἱ τῶν παραλαλουμένων
perish the rumormongers and the of-the whispered(-things)
δημιουργοὶ, οἱ τὰ ζιζάνια ἐπισπείροντες πονηροὶ καὶ
makers the(-ones) the tares sowing-upon wicked and
ὑπὸ μόνου τοῦ βασκαίνειν τὰ μὴ ὄντα τερατευόμενοι,
by only the to-envy the(-things) not being inventing
ὧν τοῖς ἀλόγοις ἢ ἀλλοκότοις οὐ προσέχειν δεῖ,
of-whom to-the irrational or strange not to-attend one-must
ἐς τοῦτο μάλιστα, ὥς γε πείθομαι, ξυγκειμένοις,
for this most as at-least I-am-persuaded composed
ὅπως τὴν κοινὴν ἡμῶν διαστήσωσι γνώμην καὶ τὴν τῆς
so-that the common our they-might-divide mind and the of-the
προαιρέσεως καταστασιάσωσιν οὐ προσήκοντες ὁμόνοιαν!
purpose they-might-stir-up-against not belonging concord

πλὴν ἀλλὰ καὶ αὖθις λέγει, μὴ ἐπιχαρῇ ὁ ἐχθρὸς ἐφ'
however but also again he-says not may-rejoice the enemy over
ἡμῖν, μηδὲ τῆς οὕτω θεομισοῦς καὶ πᾶσαν ἰδέαν κακίας
us nor of-the so God-hated and every form of-evil
παρελαυνούσης κἂν εἰς μνήμην ἔλθοις πράξεως· μηδὲ
outstripping even into memory may-you-come deed nor
ἀγνώμων ἐπὶ τοσοῦτον καὶ ἄδικος ὀφθῆναι βουληθείης,
ungrateful to such(-a-degree) and unjust to-appear may-you-wish
μηδὲν ἔχων τοῖς εὐεργετηκόσιν ἐγκαλεῖν, μηδὲ τῷ
nothing having against-the benefactors to-charge nor for-the
βίῳ ἄπευκτον γενέσθαι διήγημα καὶ πονηρὸν ὑπόδειγμα
life accursed to-become tale and evil example
καταδέξαιο!"
may-you-accept

20 Ἐπὶ τούτοις τοῦ εἰς μέσον παραληφθέντος καὶ ἐν
upon these of-the into middle called-in and in
τοῖς φρικτοῖς αὐτῷ ὀμωμοσμένοις θεοῦ ἀνεμίμνησκε, καὶ
the awesome by-him sworn(-oaths) God he-reminded(-him) and
ὥσπερ τῆς δραστικῆς αὐτοῦ προνοίας τρόπος τῆς περὶ
as-it-were of-the active his providence way of-the about
τὴν οἰκουμένην διατρεχούσης ὁσημέραι, καὶ ἐδίδασκεν
the inhabited-world running-through daily and taught
ὡς ἀκοιμήτῳ ὀφθαλμῷ τὰ τῇδ' ἐπισκοπεῖ, καὶ
how with-sleepless eye the(-things) here it-oversees and
τὰς ἀντιδόσεις τῶν βεβιωμένων τοῖς ἀνθρώποις
the requitals of-the(-deeds) lived to-the men
πρυτανεύει ἀεί· ἀντιμετρεῖται γὰρ παρ' αὐτῆς ἑκάστοις
dispenses always is-measured-back for by it to-each
τὰ πράγματα, ἧς καὶ τῷ δικτύῳ οἱ σκολιῶς
the affairs whose also in-the net the(-ones) crookedly
ἁλίσκονται πορευόμενοι, δι' ἧς καὶ τὰ τῆς τύχης
are-caught walking through which also the(-things) of-the fortune

εἰς τὸν ἀντίρροπον μεταφέρεται. “Εἰ μὲν καὶ τὴν
into the counterpoise is-shifted if indeed also the
τοῦ θεοῦ κρίσιν πτοῇ κἀκεῖνον τῶν σῶν ἀναμένεις
— of-God judgment you-dread and-him of-the your you-await
ἐξεταστὴν, δυσωπήθητι τὴν τῶν ἔργων ἀσφάλειαν·
examiner be-abashed the of-the deeds safety
ἡγείσθω εὐβουλία τῆς ἐγχειρίσεως, τὸ συνῆσον τῆς
let-precede good-counsel of-the undertaking the understanding of-the
ἐπιβουλῆς τῶν πραγμάτων, πρὸ τῆς ἐπιβουλῆς ἡ βουλή·
plotting of-the affairs before the plotting the counsel
τὸν γὰρ κακῶς βουλευόμενον πρῶτον ἡ ἐγχείρισις
the(-one) for badly counseling first the undertaking
ἔβλαψεν.”
harmed
